ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΗΤΟΙ

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΝ ΤΑΙΣ ΒΙΒΛΙΟΘΗΚΑΙΣ

τοῦ ἁγιωτάτου ἀποστολικοῦ τε καὶ καθολικοῦ ὀρθοδόξου πατριαρχικοῦ
θρόνου τῶν Ἱεροσολύμων καὶ πάσης Παλαιστίνης ἀποκειμένων

ΕΛΛΗΝΙΚΩΝ ΚΩΔΙΚΩΝ

ΣΥΝΤΑΧΘΕΙΣΑ ΜΕΝ ΚΑΙ ΦΩΤΟΤΥΠΙΚΟΙΣ ΚΟΣΜΗΘΕΙΣΑ ΠΙΝΑΞΙΝ

ὑπὸ

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΥ-ΚΕΡΑΜΕΩΣ

τύποις δ' ἐκδοθεῖσα ἀναλώμασι τοῦ

ΑΥΤΟΚΡΑΤΟΡΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΛΑΙΣΤΙΝΟΥ ΣΥΛΛΟΓΟΥ

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ

1899

impression anastatique

CULTURE ET CIVILISATION
115, AVENUE GABRIEL LEBON
BRUXELLES
1963





ΙΕΡΟΣΟΛΥΜΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΗΤΟΙ

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΝ ΤΑΙΣ ΒΙΒΛΙΟΘΗΚΑΙΣ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΑΠΟΣΤΟΛΙΚΟΥ ΤΕ ΚΑΙ ΚΑΘΟΛΙΚΟΥ ΟΡΘΟΔΟΞΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΘΡΟΝΟΥ

ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ ΚΑΙ ΠΑΣΗΣ ΠΑΛΑΙΣΤΙΝΗΣ

ΑΠΟΚΕΙΜΕΝΩΝ

ΕΛΛΗΝΙΚΩΝ ΚΩΔΙΚΩΝ

ΠΡΟΛΟΓΟΣ.

Ἐν τῷδε περιέχεται τῷ τόμῳ 447 κωδίκων τῆς ἐν τῷ Μετοχίῳ τοῦ Παναγίου Τάφου βιβλιοθήκης ἀκριβὴς ὁπωσοῦν ἀναγραφή, ἧς ἐγὼ τὴν σύνταξιν ἐν Κωνσταντινουπόλει (ἐν ᾗ τὸ εὐκλεὲς ἐκεῖνο ἵδρυται μετόχιον) ἔτει ἠρξάμην 1886-ῳ· ὁ γὰρ τότε τοῦ μετοχίου τούτου καθηγούμενος Δαμιανὸς ἀρχιμανδρίτης ὁ Σάμιος, φιλοτιμίᾳ νυγεὶς ἐπαινετῇ, τὴν ἐκεῖ πρότερον κακῶς ἔχουσαν βιβλιοθήκην ἐνὶ δώματι μεγεθύνας εὐρεῖ, καιναῖς τε τοῦτο θήκαις περικοσμήσας, καλέσας ὕστερον ἐμὲ προετρέψατο πάντα τὰ τότ' ἐν ἐκείνῃ γραπτά τε διατάξαι καὶ ἔντυπα βιβλία, ταῦτά τε περιγράψαι, ὡς ἂν ἐγὼ κρίνω, καὶ τοὺς αὐτοῖς ἁρμόζοντας ἀριθμοὺς ἐπιθεῖναι, οὕτως εἰπὼν ἀξιώσαντός τε καὶ βουλευσαμένου τοῦ μακαριωτάτου τῶν Ἱεροσολύμων πατριάρχου Νικοδήμου. Ἐγὼ μὲν οὖν τῇ οὕτως εὐμενεῖ δοὺς ἐμαυτὸν ἀξιώσει παντάπασιν ἀμισθὶ τὴν αἰτηθεῖσαν ἐτέλεσα τότε διάταξιν, ἀπὸ τῶν ἐντύπων ἀρξάμενος βιβλίων· οὗ δὴ γενομένου, νεανίας μέν τις ἀτυχῶς εὐμαθείας ἐνδεὴς τοὺς τίτλους ὕστερον ἐν ἰδίοις ἀντέγραφε δελτίοις, ἵν' ἑξῆς ἐντεῦθεν ὁ καθόλου μετ' ἐλέγχου τῶν ἐντύπων συνταχθείη κατάλογος [1]· ἐγὼ δ' αὐτὸς ἀξιώσει Δαμιανοῦ τοῦ καθηγουμένου περιέγραφον ἐν λεπτῷ τὰ τοῦ μετοχίου κειμήλια, τουτέστιν εἰκόνας τε καὶ λείψανα παντοδαπῶν ἁγίων, ἄμφιά τε λειτουργικά, σταυρούς τε

[1] Οὗτος ὁ κατάλογος οὐκ ἐγένετο μέχρι τοῦδε, τῶν δελτίων αὐτῶν οὔπω διορθωθέντων ὑπ' ἐμοῦ αὐτοῦ, ἢ ὑπ' ἄλλου τινὸς πολυγλώττου καὶ τῆς βιβλιολογίας πεῖραν ἔχοντος· ὃν δὲ ὁ νεανίας ἐκεῖνος ὕστερον, ἐμοῦ αὐτοῦ διαμένοντος ἐν Ἱεροσολύμοις, συνέταξεν ἐν ἰδίῳ βιβλίῳ κατάλογον τῶν ἐντύπων, τοῦτον ἐγὼ παντελῶς ἀσύστατον ὀνομάζω· ἔστι γὰρ ἁμαρτητικὸς ἅμα καὶ πάνυ ἀμέθοδος.



καὶ δισκοπότηρα, χρυσᾶ τε παντοῖα καὶ ἀργυρᾶ σκεύη, ἅπερ ἐν τάξει τοῖς οἰκείοις ἔταττεν ἀριθμοῖς ἐν ἰδίῳ δώματι Γερμανὸς πρωτοσύγκελλος ὁ Κωνσταντινίδης, ὃς ἦν αὐτοῦ δὴ τούτου τοῦ μετοχίου βιβλιοφύλαξ ἅμα καὶ καμαράσης. Τελεσθείσης μὲν οὖν τότε καὶ τῆς τῶν κειμηλίων ἁπάντων ἀναγραφῆς [1], ἠρξάμην ἑξῆς ἐγὼ τῆς ἐν λεπτῷ περιγραφῆς τῶν αὐτοχειρὶ κατὰ σχῆμα ἐν ἰδίῳ προδιατεταγμένων τόπῳ γραπτῶν βιβλίων, τουτέστι τῶν κωδίκων, οἵπερ εὑρέθησαν εἶναι τότε ὀκτακόσιοί που καὶ πεντήκοντα· τῆς μέντοι περιγραφῆς ἄχρι τοῦ 167-ου προβάσης ἀριθμοῦ, προσεκλήθην ἐγὼ δι' ἄλλας τινὰς ἐργασίας εἰς Ἱεροσόλυμα, καὶ οὕτως ἄκοντός μου διεκόπη προσκαίρως ὁ τῶν κωδίκων κατάλογος· ἀλλ' ἔτει 1891-ῳ περιέγραψα τούτων πλείονας, ἀναβιβάσας τὴν περιγραφὴν αὐτῶν ἄχρι που τοῦ 400-οῦ ἀριθμοῦ· καὶ πάλιν ἄχρι τοῦ 447-ου ἔτει 1892-ῳ, ὅτε καὶ συνεργοῦντος Ἰακώβου διακόνου τοῦ Ἀρχατζικάκη πέρας ἐθέμην ἁπάσῃ τῇ προγεγενημένῃ τῶν βιβλίων διατάξει, ὡς εἶναι νῦν τὴν ἐν τῷ μετοχίῳ βιβλιοθήκην εὔτακτον καὶ τὴν ὄψιν καλήν [2]. Ὅτε δὲ ταῦτα ἐγίγνοντο, πατριάρχης μὲν Ἱεροσολύμων ὁ μακαρίας ἦν μνήμης Γεράσιμος, ὁ τοῦ Νικοδήμου διάδοχος, αὐτοῦ δὲ τοῦ μετοχίου καθηγούμενος ὁ τοῦτ' αὐτὸ μέχρι τοῦδε κυβερνῶν Γερμανὸς ἀρχιμανδρίτης ὁ Ἀποστολᾶτος, ᾧπερ ἐγὼ χάριτας νῦν ὁμολογῶ ἐφ' αἷς ἐνεπόρισέ μοι τότε πατρικαῖς εὐμαρείαις. Ἀπὸ μὲν οὖν τοῦ 1892-ου ἔτους διά τινας αἰτίας, ὧν ἡ φανέρωσίς ἐστι παντάπασιν ἀλυσιτελής, οὐδένα τῶν ἐπιλοίπων ἄχρι τοῦδε τετρακοσίων που περιέγραψα κωδίκων· ἀλλ' ἂν θεὸς διδῷ, καὶ τούτων ἡ περιγραφή ποτε αὐτοχειρὶ γενήσεται, ἵν' οὕτω πέρας τῷμῷ δοθείη πόνῳ, αὐτὸς δ' αὖ ὁ τῶν Ἱεροσολύμων πατριαρχῶν προφορικὸς ἅμα καὶ γραπτὸς ἐξ ἀρχῆς μοι δηλωθεὶς ἐν τῇ συντάξει τοῦ καταλόγου μου πόθος ἐκπληρωθείη τελείως

[1] Ὁ τούτων κατάλογος ἐγένετο διπλοῦς· τὸ δὲ πρωτότυπον αὐτοῦ, ὅπερ ἰδίᾳ ἐγὼ συνέταξα χειρί, ὑπάρχει νῦν ἐν τῷ Πατριαρχείῳ τῶν Ἱεροσολύμων. — [2] Ἐν τούτῳ τῷ χρόνῳ ἀνεῦρον ἐγὼ ἐν ἰδίῳ τῆς βιβλιοθήκης τόπῳ δελτία πάνυ πολλά, ὧν ἡ μὴ συνένωσις ἐκ λήθης τοῖς ἑτέροις δελτίοις, τοῖς ἐξ ἀρχῆς ἀποτελέσασι τὸν δῆθεν καθόλου τῶν ἐντύπων κατάλογον, ἐγένετο πρόξενος ἀδίκου τινὸς ὅλως καὶ θορυβώδους μομφῆς κατὰ τῶν κυβερνησάντων τὸ μετόχιον ἔτει 1887-ῳ.



εἰς ὄφελος τῶν ἑλληνικῶν καθόλου γραμμάτων. Πέρας δὲ νῦν τῷ βραχεῖ τούτῳ διδοὺς προλόγῳ, εἰλικρινεστάτας ἐμοὶ πάρεστιν εὐχαριστίας ὁμολογῆσαι Δαμιανῷ τῷ μακαριωτάτῳ μοι πατρὶ καὶ δεσπότῃ, ἐφ' οἷς ἐξ ἀρχῆς ὑπέρ τε τοῦ καταλόγου τούτου καὶ τῆς ἐν τῷ μετοχίῳ βιβλιοθήκης ἐπαινετοῖς ἔπραξεν ἔργοις· ὃν ἔκτοτε ἡ θεία χάρις τὰς ἀρετὰς αὐτοῦ ἀμείψασα προήγαγε πρῶτον μὲν εἰς τὸ ἀρχιεπισκοπικὸν ἀξίωμα Φιλαδελφείας τῆς Παλαιστινῆς, εἶτα δὲ εἰς τὸν ἀποστολικὸν τῶν Ἱεροσολύμων πατριαρχικὸν θρόνον.

Ἔγραφον ἐν Πετρουπόλει μηνὶ φεβρουαρίῳ τοῦ ,αωϟθ' ἔτους.

Α. ΠΑΠΑΔΟΠΟΥΛΟΣ - ΚΕΡΑΜΕΥΣ.



ΜΕΡΟΣ ΤΕΤΑΡΤΟΝ.

ΚΑΤΑΛΟΓΟΣ

κωδίκων εὑρισκομένων ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Κωνσταντινουπόλει Μετοχίου τοῦ Παναγίου Τάφου.

1. Δύο τευχῶν λείψανα καὶ ἓν ἕτερον τεῦχος ἐντελές· ἅπαντα δ' ὁμοῦ συναποτελοῦσι κώδικα 79 φύλλων ἐκ χάρτου, καὶ τὸ μὲν πρῶτον ἀριθμεῖ φύλλα 34 (0,33×0,19), ὧν τὰ πέντε τελευταῖα παντάπασιν ἄγραφα· τὸ δεύτερον ἀριθμεῖ φύλλα 38 (0,365× 0,235), τὸ δὲ τρίτον ἑπτά (0,377×0,257).

Α'. Αὐτόγραφον Γεωργίου Κορεσσίου. «Βιβλίον δ'. Περὶ τῶν ἀπὸ Δαβὶδ ἕως ἀποικίας Ἑβραίων ἀπὸ Βαβυλῶνος. Τμῆμα α^{ον}. Περὶ βασιλέως Δαβὶδ καὶ βασιλέως Σολομὼν καὶ τῶν ἐκ διαδοχῆς ἐπιγεγενημένων βασιλέων Ἰούδα». Ἀρχ. «Τῆς μέχρι γεννήσεως Χριστοῦ τοῦ σεσωκότος ἡμᾶς» κτλ., φ. 1-26 καὶ 29-31. Τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ὂν ἀριθμεῖ γραμμὰς τριάκοντα· ἔστι δὲ τοῦτο, καθὰ φαίνεται, Γεωργίου τοῦ Κορεσσίου λείψανον συγγραφῆς τινος, ᾗ τὴν ἱστορίαν ἐπεξέρχεται τῶν Ἑβραίων.

Β'. Αὐτόγραφον Γεωργίου Κορεσσίου. «Περὶ τοῦ βιβλίου τοῦ Ἄσματος τῶν Ἀσμάτων». Ἀρχ. «Τοῦτο τὸ βιβλίον Ἀσιρὶμ ἑβραϊστὶ λέγεται», φ. 1 μέχρι φ. 38-ου, ἔνθα γέγραπται τὸ «Ἀλλὰ πέρας λαβέτω ἡ ἐπιτομὴ τῶν Ἀσμάτων ἐμοὶ Γεωργίῳ Κορεσσίῳ θεολόγῳ τῆς Μεγάλης Ἐκκλησίας καὶ ἀκέστορι». Τὸ κείμενον δίστηλον ἐκ γραμμῶν δύο καὶ τριάκοντα.



Γ'. Λείψανον σειρᾶς τινος ἑρμηνευτῶν εἰς τὰ ὀκτὼ πρῶτα βιβλία τῆς Παλαιᾶς Διαθήκης. α') Ἀκέφαλος σειρὰ παλαιῶν ἑρμηνευτῶν τοῦ βιβλίου τῶν Κριτῶν, ὅπερ, ὡς νῦν ἔχει ἐν τῷ κώδικι, ἀπὸ τοῦ ὀγδόου ἄρχεται κεφαλαίου. Ἑρμηνευταί: Βίκτωρ, Θεοδώρητος, Ὠριγένης, Ἰωάννης ὁ Χρυσόστομος, Εἰρηναῖος, Σεβῆρος, Θεόδωρος ὁ Μοψουεστίας, φ. 1 μέχρι φ. 4-ου, ἔνθα τὸ «Τέλος σὺν Θεῷ τῆς τῶν Κριτῶν Ἰσραὴλ ἁγιογράφου βίβλου· ,αψμγ-ῳ [1743] σεπτεμβρίῳ ς-ῃ ἀμήν. Μακάριος Χῖος». — β') «Βίβλος τῆς Ῥοὺθ» μετὰ σειρᾶς παλαιῶν ἑρμηνευτῶν, οἷον Θεοδωρήτου, Ἰωάννου Χρυσοστόμου, Ὠριγένους, Κυρίλλου Ἀλεξανδρείας καί τινων ἀνωνύμων, φ. 5-6. Τὸ κείμενον δίστηλον.— γ') «Πόσαι ἐκδόσεις εἰσὶ τῆς θείας Γραφῆς εἴτουν ἀπὸ τοῦ ἑβραϊκοῦ εἰς τὸ ἑλληνικὸν ἑρμηνεῖαι, καὶ τίνες οἱ ταύτην ἑρμηνεύσαντες». Ἀρχ. «Πρώτη ἐστὶν ἡ τῶν οβ' ἑρμηνευτῶν», φ. 7α. Ὑπὸ δὲ τοῦτο τὸ κείμενον γέγραπται τὸ σημείωμα τόδε· «Τῆς παρούσης ὀκτατεύχου βίβλου ἡ μὲν Πεντάτευχος ἔκ τινος ἀντιγράφου παλαιοῦ ἀναγέγραπται, ἐλλειποῦς μὲν τὴν ἀρχήν, ἐν τῷ τέλει δέ, οὔτε τὸν γράψαντα, οὔτε τὸν χρόνον καθ' ὃν γέγραπται ἔχοντος· ἡ δὲ λοιπὴ τρίτευχος, ἀναγέγραπται ἔκ τινος ὁμοίου τῷ πρώτῳ ἀντιγράφῳ, γεγονότος ἐπὶ βασιλείας τοῦ κραταιωτάτου καὶ εὐσεβεστάτου βασιλέως· καὶ αὐτοκράτορος Ῥωμαίων· Ἀλεξίου τοῦ Κομνηνοῦ· καὶ Ἰωάννου τοῦ βασιλέως τοῦ πορφυρογεννήτου· ἐκτελεσθέντος μηνὶ νοεμβρίῳ ιβῃ νυκτὸς ὥρᾳ θῃ κατὰ τὸ ,ςχιβῳ· ἔτος ἀποκτίσεως κόσμου [= 1103]· ἰνδικτιῶνος· ιβ. διὰ προσταγῆς τοῦ ἐκλαμπροτάτου Λέοντος πρωτονοβολησίμου· καὶ οἰκειοτάτου τῷ ἀοιδίμῳ βασιλεῖ· καὶ διὰ χειρὸς γραφέντος Ἰωάννου τοῦ Ξένου· καὶ Κούλικος [sic]. Ἐκ τούτων οὖν ἀναγραφεῖσα καὶ αὕτη διὰ χειρὸς Μακαρίου ἱεροδιακόνου Βούρου· ἐκ νήσου Χίου· κατὰ τὸ ,αψμγ [1743] ἀποθεογονίας ἐν μηνὶ σεμπτεμβρίῳ ηῃ ἡμέρα εῃ ἰνδικτιῶνος ζῃ».

2. Ἡ περιώνυμος Δοσιθέου Ἱεροσολύμων πατριάρχου Νομικὴ Συναγωγή, ἧς ἐκτενῆ περιγραφήν, ὑπὸ Γεωργίου Κωνσταντινίδου γεγενημένην, τύποις ἐξέδωκε Κωνσταντῖνος ὁ Σάθας [Μεσαιωνικὴ

Βιβλιοθήκη. Ἐν Βενετίᾳ 1872, τ. ΙΙΙ, σ. ϟα'-ϟγ' καὶ 547-604]. Ἡ Νομικὴ Συναγωγὴ σήμερον ὡς ἔχει τεῦχος ἀποτελεῖ ἐκ φύλλων χάρτου στιλπνοῦ καὶ παχέος 7+451, μήκους 0,412, πλάτους 0,285, ἔνδον τῆς πρώτης πινακίδος ἔχον ἄγραφα φύλλα ἑπτά, ὧν τὸ πρώτιστον μόνον ἐν τῇ προσθίῳ φέρει σελίδι τὸ σημείωμα τοῦτο· «Τὸ παρὸν συνέλεξεν ἐπιμελείᾳ καὶ ἐξόδοις, ὁ Ἱεροσολύμων πατριάρχης Δοσίθεος ἐν Κωνσταντινουπόλει, καὶ ὠνόμασεν αὐτὸ Νομικὴν Συναγωγήν. ͵αχπ' [=1680]: — Εἴη δὲ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος καὶ ἀφορισμῷ ἀλύτῳ ὑπεύθυνος ὁ τοῦτο ποτὲ ἐκ τῆς δεσποτείας τοῦ Παναγίου Τάφου ἀφαιρεθησόμενος καὶ τὸ φύλλον τεμὼν ὡς μὴ ὡρώῃ τὰς γραφείσας ἀράς: Ὁ Ἱεροσολύμων Παρθένιος ἀποφαίνεται». Τὰ πρῶτα ἠριθμημένα 64 φύλλα καλλιγραφικῶς ἔγραφεν Ἰωάννης Βυζάντιος, ἱερεὺς καὶ μέγας σακελλάριος τῆς Μεγάλης Ἐκκλησίας [1]· τὰ δὲ λοιπὰ φύλλα καλλιγράφος τις ἕτερος ἔγραφεν, ἐπιτηδεύσας γραφὴν καθαρὰν καὶ λίαν εὐανάγνωστον· ἀναγράφω δ' ἐκ τῶν ἐν τῷ κώδικι τούτῳ κειμένων κατ' ἐκλογὴν τάδε·

1. «Ἐκλογὴ τοῦ παρὰ Θεοῦ διὰ Μωσέως (κῶδ. διαμωσέως) δοθέντος νόμου (κῶδ. νόμων) τοῖς Ἰσραηλίταις· ἐν κεφαλαίοις πεντήκοντα». — «Πιναλία [sic] τῶν ἐγκληματικῶν κεφαλαίων». Ἀρχ. «Μηδεὶς τῶν ἐν ἐκκλησίᾳ προσφύγων» κτλ. — «Ἐρωτήσεις τινῶν μοναχῶν» κτλ. (ἐκ τοῦ Νομοκάνονος). — Νικολάου πατριάρχου τοῦ Γραμματικοῦ, «ὅτι οὐκ ἔξεστιν ἀφαιρεῖσθαι τὰς ἐπισκοπὰς ἀπὸ τῶν μητροπόλεων». — Φωτίου πατριάρχου συναγωγαὶ καὶ ἀποδείξεις ἀκριβεῖς περὶ ἐπισκόπων καὶ μητροπολιτῶν κτλ., φ. 1-64. Αἱ σελίδες $64^β$-$70^β$ ἀφέθησαν ἄγραφοι.

2. Συλλογὴ πράξεων, σιγιλλίων καὶ γραμμάτων πολυαρίθμων οἰκουμενικῶν πατριαρχῶν ἀπὸ τοῦ 1538-ου μέχρι τοῦ 1684-ου

[1] Τὸ ὄνομα Ἰωάννου τοῦ Βυζαντίου οὐχ εὑρίσκεται ἐν αὐτῷ τῷ κώδικι· τὴν ἐν τούτῳ μέντοι γραφὴν αὐτοῦ βεβαιοῖ ὁ τῆς μονῆς Κοσινίτζης χειρόγραφος νομοκάνων, ᾧ τινι ἐγὼ ἐν τῷ πονηθέντι μοι τύποις ἀνεκδότῳ καταλόγῳ τῶν ἐν τῇ μονῇ ταύτῃ κωδίκων ἀριθμὸν ἔδωκα τὸν πρῶτον. Ὅρα Α. Π. Κεραμέως, Ἔκθεσις παλαιογραφικῶν ἐρευνῶν ἐν Θρᾴκῃ καὶ Μακεδονίᾳ. Ἐν Κωνσταντινουπόλει 1886, σ. 35. Πρβλ. Βυζαντινὰ Χρονικά. Ἐν Πετρουπόλει 1894, τ. Ι, σ. 744.

ἔτους, φ. 71-352, ἔξω τοῦ 170-ου φύλλου, ὅπερ ἄγραφον ὑπάρχει· λεπτομερῆ δὲ τῆς συλλογῆς ταύτης ἀναγραφὴν ὅρα ἐν τῇ Μεσαιωνικῇ Βιβλιοθήκῃ τοῦ Σάθα, τ. III, σ. 547-604.

3. «Ἴσον τοῦ εὑρεθέντος κατὰ τὸ ,αφπ' [1580] ἔτος ἀπὸ Χριστοῦ εἰς τὴν χώραν Ἄκυλλαν. Ἐκομίσθη τὸ παρὸν καὶ ἐνεφανίσθη ἐν Κωνσταντινουπόλει κατὰ τὸ ,ζπθ' ἔτος μηνὶ ἀπριλλίῳ κη ἰνδ. θ'. Τὸ ἴσον τῆς κατὰ τοῦ σωτῆρος Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τῆς ἀειπαρθένου Μαρίας δοθείσης ἀποφάσεως ὑπὸ Ποντίου Πιλάτου ἡγεμόνος τῆς Ἰουδαίας, κατὰ τὸ ιζον ἔτος τῆς ἀρχῆς Τιβερίου καίσαρος βασιλέως Ῥωμαίων, κατακρινάσης αὐτὸν εἰς θάνατον σταυρικὸν ἐν μέσῳ δύο ληστῶν κεη τοῦ μαρτίου· ἥπερ εὑρέθη πρὸ ὀλίγων ἡμερῶν τινων παρ' ἐλπίδα εἰς τὴν χώραν Ἄκυλλαν ἐντὸς πέτρας ὡραιοτάτης, ἐν σιδηρῷ κιβωτίῳ, οὗ ἔνδον ἦν ἕτερον κιβώτιον μαρμάρινον θαυμαστόν, ἔχον κεκλεισμένην τὴν αὐτὴν ἀπόφασιν γράμμασιν ἑβραϊκοῖς γεγραμμένην ἐν μεμβράναις ἔχουσαν οὕτως.—Ἔτους ἑπτακαιδεκάτου Τιβερίου» κτλ., φ. 332 καὶ ἑξῆς· τῷ δὲ κειμένῳ τούτῳ ἕπεταί τινα γράμματα τοῦ τε πατριάρχου Ἱερεμίου τοῦ δευτέρου καί τινων ἑτέρων πατριαρχῶν ἄχρι τοῦ 352-ου φύλλου.

4. «Τόμος ζητημάτων τινῶν ἀναγκαίων, ὧν αἱ λύσεις ἐγένοντο παρὰ τῶν ἁγιωτάτων καὶ μακαριωτάτων τεσσάρων πατριαρχῶν καὶ ἐξεδόθησαν, δοκιμασθεῖσαι κατὰ τοὺς ὅρους καὶ κανόνας τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἀνατολικῆς Ἐκκλησίας ἐν εἴδει ἐρωτήσεως καὶ ἀποκρίσεως, κατὰ τὸ σωτήριον ἔτος ,αχξγ-ον [1663], κατὰ μῆνα [sic]». Ἀρχ. «Ἐκ Θεοῦ ἄρχεσθαι» κτλ., φ. 353-358α. Ἔκδοσις ἐκ τοῦ πρωτοτύπου: Собраніе Государственныхъ граммотъ и договоровъ, хранящихся въ Государственной Коллегіи Иностранныхъ Дѣлъ. Часть четвертая. Москва 1828, σ. 84-116. Μανουὴλ ὁ Γεδεών. ἀγνοήσας τὴν πρώτην ἔκδοσιν τούτου τοῦ τόμου, κατεχώρισεν αὐτὸν ὡς δῆθεν τύποις ἀνέκδοτον ἐν ταῖς συλλεγείσαις ὑπ' αὐτοῦ Κανονικαῖς Διατάξεσι, τ. I, σ. 341-368.

5. «Ἔκθεσις τῶν πραχθέντων ἐπὶ τῇ ζητήσει τῆς ἐξηγή-

σεως τοῦ ἐν τῷ ἁγίῳ Εὐαγγελίῳ ἐμφερομένου ῥητοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ "Ὁ πατήρ μου μείζων μού ἐστι", δηλοῦσα καὶ τὰ πρότερον μὲν λαληθέντα παρὰ τῶν τὸ τοιοῦτον ῥητὸν διαφόρως ἑρμηνευόντων, τὰς προσκομισθείσας τε χρήσεις τῶν ἁγίων πατέρων καὶ τὰ μετὰ ταῦτα κυρωθέντα, ἀλλὰ καὶ μετὰ τὴν κύρωσιν τῆς ἀληθοῦς ἑρμηνείας συνενεχθέντα, καὶ ἐπὶ τούτοις τὸ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως πορφυρογεννήτου καὶ αὐτοκράτορος Ῥωμαίων τοῦ Κομνηνοῦ κῦρι Μανουὴλ εὐσεβεστάτου ἴδικτον». Ἀρχ. «Ἤδη τοῦ ἐπὶ τῷ εἰκοστῷ τῆς αὐτοκρατορίας τρίτον χρόνον ἀνύοντος» κτλ., φ. 350-367α. Ang. Maii, Scriptorum veterum nova collectio e Vaticanis codicibus. Roma 1831, τ. IV, pars I, σ. 1-96. Migne τ. 140, σ. 201. Ἐκ δὲ βατοπεδινοῦ κώδικος ἔκδοσις ἀτελὴς ἐν τῇ Ἐκκλησιαστικῇ Ἀληθείᾳ, τ. IV, 1884, σ. 457-460, 473-477, 605-607, 635-636. Τόμ. V, 1884, σ. 74-76, 92-94· ταύτην δὲ τὴν ἔκδοσιν ἐποίησε Μανουὴλ ὁ Γεδεών, ἀγνοήσας καὶ τὴν πρὸ 66 ἐτῶν ὑπὸ τοῦ Μαΐου γεγενημένην καὶ τὴν ἑτέραν τοῦ Migne μετατύπωσιν.

6. Κανονικαὶ ἐρωτήσεις καὶ ἀποκρίσεις, ὧν ἡ ἀρχή· «Ἠρετό τις, δεῖ τὸν μοναχόν, μήπω σφραγισθέντα εἰς ἀναγνώστην, ψάλλειν ἐπ' ἄμβωνος ἢ ἀναγινώσκειν» κτλ., φ. 368α.

7. «Πίστις καὶ διδασκαλία ἐκτεθεῖσα παρὰ τῶν ἐν Νικαίᾳ τιη' θεοφόρων ἁγίων πατέρων», φ. 372β.

8. «Ἐκ τῆς πρὸς τὸν ἱερομόναχον Παῦλον ἐπιστολῆς» τοῦ ἁγίου Γρηγορίου τοῦ Παλαμᾶ. Ἀρχ. «Τοῦτό ἐστι τὸ μεγάλον» κτλ., φ. 374α. — Ἰσιδώρου Θεσσαλονίκης τοῦ Γλαβᾶ ὑπόμνημα περὶ τοῦ Οὐγγροβλαχίας Ἀνθίμου. Ἀρχ. «Ἐπὶ τῶν ἡμετέρων ἡμερῶν» κτλ. Παράρτημα τῆς Ἐκκλησιαστικῆς Ἀληθείας. Κανονικαὶ διατάξεις. Ἐν Κωνσταντινουπόλει 1888, τ. I, σ. 21-23.— Ἕτερον τοῦ αὐτοῦ Ἰσιδώρου περὶ τῆς μνηστείας Γεωργίου τοῦ Εὐγενικοῦ. Κανονικαὶ διατάξεις, τ. I, σ. 24-26.

9. «Περὶ τοῦ ἁγίου βαπτίσματος· τὸ εἰς τὸν Ταρχανειώτην πατριαρχικόν». Ἀρχ. «Ἱερώτατε μητροπολῖτα Φιλαδελφείας», φ. 375. Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων, τ. V, σ. 138.—

Ἕτερον, οὗ ἡ ἀρχή· «Τῷ παρόντι κανόνι χρησάμενος ὁ ἁγιώτατος ἐκεῖνος πατριάρχης Πολύευκτος» κτλ.

10. «Λύσις συνοδικοῦ ἐπὶ ταῖς ἐρωτήσεσιν, ἃς προέτεινεν ὁ ἐπίσκοπος τοῦ Σαράη». Ἀρχ. «Μηνὶ αὐγούστῳ ιβ', ἡμέρᾳ δ', ἰνδ. δ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου Κωνσταντινουπόλεως, Νέας Ῥώμης, κυροῦ Ἰωάννου» (τοῦ Βέκκου) κτλ., ἔτει 1276-ῳ, φ. 375β. Κανονικαὶ Διατάξεις, τ. Ι, σελ. 16-20.

11. «Ὅρος, ἤτοι τόμος τῆς ἱερᾶς συνόδου, τῆς συγκροτηθείσης ἐν τῇ θεοφυλάκτῳ βασιλευούσῃ μεγαλοπόλει Μοσχοβίᾳ» ἔτει 1666-ῳ. Ἀρχ. «Συνέχει δὲ ἐν πρώτοις», φ. 376β. Καὶ τὰ πρακτικὰ καὶ οἱ κανόνες ταύτης τῆς συνόδου.

12. Κατάλογος τῶν ὀνομάτων τῶν ἐν τῇ πρώτῃ οἰκουμενικῇ συνόδῳ τιη' πατέρων, φ. 388β.

13. «Περὶ τοῦ ἀντιμινσίου, ὅπερ ἐποίησε κῦρ Νεῖλος ὁ πατριάρχης Κωνσταντινουπόλεως, ὁ ἐκ τοῦ Χαρσιανίτου, ὁ Κεραμεύς». Ἀρχ. «Πολλὰς ἡμῖν ἔδωκεν ὁδούς» κτλ., φ. 389β. Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων, τ. V, σ. 141.

14. «Νεαρὰ τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως κῦρ Ἀθανασίου καὶ τῶν ἐν αὐτῇ γεγραμμένων ἀρχιερέων, τῆς ἱερᾶς συνόδου αὐτοῦ». Ἀρχ. «Εἰ καί τινι τῶν δικαιωθέντων» κτλ., φ. 389β-390β. Σύνταγμα, τ. V, σ. 121-126. Μετὰ τὸ πέρας τῆς νεαρᾶς ὑπάρχει Ἐφραὶμ πατριάρχου Ἱεροσολύμων (23 ἀπριλίου 1767) ἰδιόγραφος ἀρὰ κατὰ τῶν βουλομένων ἀποξενῶσαι τόδε τὸ τεῦχος ἀπὸ τῆς κυριότητος τοῦ Παναγίου Τάφου· μετὰ δὲ τὴν ἀρὰν εὑρίσκεταί τινα φύλλα παντάπασιν ἄγραφα (391-434), ἔξω τοῦ ἐσχάτου, ὅπερ ἔχει τὸ σημείωμα τόδε· "Ἡ ἀπέναντι συνοδικὴ ἔκθεσις, καθὼς καὶ ἡ ὄπισθεν αὐτῆς νεαρὰ τοῦ Κωνσταντινουπόλεως πατριάρχου Ἀθανασίου εὑρεθεῖσαι ἐν τῷ τοῦ Γραφείου ἀρχείῳ κατὰ τὸ σωτήριον ἔτος 1880, προσετέθησαν ἐν τῇ παρούσῃ Νομικῇ Συναγωγῇ τοῦ ἀοιδίμου πατριάρχου Δοσιθέου, ἐπιμελείᾳ τοῦ βιβλιοθηκαρίου Σωφρονίου ἱεροδιακόνου Λεσβίου». Ἕπεται τῷ σημειώματι τούτῳ συνοδική τις ἔκθεσις (φ. 435-441), αὐτὴ ἐκείνη ἡ περιεχομένη καὶ ἐν τοῖς φύλλοις 359-367·

μετὰ δὲ φύλλον ἓν ἄγραφον (442) ὑπάρχει νεαρὰ τοῦ πατριάρχου Ἀθανασίου (φ. 443α-444α), αὐτὴ ἐκείνη ἡ κατακεχωρισμένη καὶ ἐν τοῖς φύλλοις 389-390.

15. «Τοῦ ἁγιωτάτου πατριάρχου Ἀντιοχείας (Θεοδώρου τοῦ Βαλσαμῶνος) ἐπιστολὴ χάριν τῶν ὀφειλουσῶν τελεῖσθαι ε' νηστειῶν». Ἀρχ. «Ἠρωτήσατε μαθεῖν ἐξ ἡμῶν» κτλ., φ. 444-448α [Σύνταγμα, τ. IV, σ. 566-577]. Εἶτα διάφορα κείμενα κανονικὰ καὶ τρεῖς σελίδες ἄγραφοι (448β-449β), μεθ' ἃς ἐτέθη κόλλα δίφυλλος (450-451), ἐμπεριέχουσα Κυρίλλου ε', πατριάρχου Κωνσταντινουπόλεως, συνοδικὸν ἐγκύκλιον γράμμα, δι' οὗ συνιστᾶται περιοδεύων Παρθένιος ὁ πατριάρχης Ἱεροσολύμων εἰς συλλογὴν ἐλεῶν ὑπὲρ βοηθείας τοῦ Παναγίου Τάφου· ἐγράφη δὲ τὸ γράμμα τοῦτο μηνὶ ἀπριλίῳ τοῦ 1749-ου ἔτους.

3. Τεῦχος τῆς ιζ' ἑκατονταετηρίδος ἐκ φύλλων χάρτου 140, μήκους 0,405, πλ. 0,26, περιέχον δύο ἀνωνύμων ἱεροκηρύκων αὐτόγραφά τινα σχέδια ὁμιλιῶν· καὶ τοῦ μὲν πρώτου ἱεροκήρυκος ὁ κῶδιξ ἔχει σχέδια ὁμιλιῶν ῥηθεισῶν ἔτει 1626-ῳ, 1629-ῳ, 1630-ῷ, 1633-ῳ καὶ 1635-ῳ· τοῦ δὲ δευτέρου ἱεροκήρυκος ἔχει σχέδια ὡσαύτως ὁμιλιῶν, ῥηθεισῶν ἔτει 1678-ῳ, 1679-ῳ, 1680-ῷ, 1682-ῳ, 1685-ῳ καὶ 1691-ῳ· πλὴν ἀλλ' αἱ μὲν τῶν ἐτῶν 1678 καὶ 1682 ὁμιλίαι ἐρρήθησαν ἐν τῷ Μετοχίῳ τοῦ Παναγίου Τάφου, τῷ ἐν Κωνσταντινουπόλει, ἄλλαι δέ τινες (1682, 1685 καὶ 1691) ἐν τῷ Πατριαρχείῳ Κωνσταντινουπόλεως· ἑτέρα δέ τις ὁμιλία ἐρρήθη τῇ 30-ῇ μαΐου μηνὸς ἔτους 1680-ου ἐν τῷ μοναστηρίῳ Τζετατζούιας. Ὁ πρῶτος ἱεροκῆρυξ ἔχει καὶ παρατηρήσεις καὶ σημειώσεις τινὰς λατινικάς.

4. Συνοδικὸς τοῦ Πατριαρχείου Κωνσταντινουπόλεως κῶδιξ, οὗ πεντήκοντα καὶ τέσσαρα μόνον ἐσώθη φύλλα, περιέχων τὰ πρωτότυπα ποικίλων συνοδικῶν καὶ πατριαρχικῶν γραμμάτων καὶ πράξεων· ἔστι δὲ μήκους 0,39, πλ. 0,265.

1. Κυρίλλου τοῦ ἐκ Βερροίας ἀκέφαλον καὶ σφόδρα κεκολοβωμένον σιγίλλιον, δοθὲν τῇ μονῇ τῶν Ἁγίων Πάντων, τῇ λεγομένῃ τοῦ Βαρλαάμ, φ. 1. Συνετάχθη δὲ τοῦτο μηνὶ ἀπριλίῳ ἔτους 1636-ου

καὶ συνυπεγράφη ὑπὸ Ἱερεμίου Ἡρακλείας, Λαυρεντίου Ἀγκύρας, Ἀνθίμου Κυζίκου, Λαυρεντίου Ναυπάκτου, Παρθενίου Μιτυλήνης, Κορνηλίου Μηθύμνης, Ἰακώβου Σμύρνης καὶ Δανιὴλ ἐπισκόπου Διαυλείας καὶ Ταλαντίου· ἐπεκυρώθη δὲ μηνὶ δεκεμβρίῳ ἰνδικτιῶνος 6-ης=ἔτους 1637.

2. Τιμοθέου α' Κωνσταντινουπόλεως συνοδικὴ πρᾶξις ψήφων ἐπὶ τῇ ἐκλογῇ τοῦ πρώην ἐπισκόπου Πολυανῆς Ἰακώβου ὡς μητροπολίτου Σηλυβρίας· ὁ γὰρ τῆς μητροπόλεως ταύτης ἀρχιερεὺς Θεοφάνης ἐτεθνήκει φυσικῷ θανάτῳ (φύλλ. 3α). Ἡ πρᾶξις αὕτη ἐγένετο τῇ 18-ῃ νοεμβρίου μηνὸς τοῦ 1618-ου ἔτους καὶ συνυπεγράφη ὑπὸ ὀκτὼ ἀρχιερέων, οἷον Κλήμεντος Προικοννήσου, Ἰγνατίου Τραπεζοῦντος, Γρηγορίου Φιλαδελφείας καὶ λοιπῶν· συνυποψήφιοι δ' ἐν τῇ πράξει φέρονται ὁ ἐν τῷ Γαλατᾷ ἱερομόναχος Παῦλος καὶ ὁ ἐν τῷ ναῷ τῆς ἁγίας Παρασκευῆς (Χάσκιοϊ) ἱερομόναχος Λαυρέντιος.

3. Τιμοθέου α' Κωνσταντινουπόλεως πρᾶξις ἀκυρώσεως τῆς μεταθέσεως τοῦ ἐπισκόπου Πολυανῆς Ἱερεμίου εἰς τὴν ἐπισκοπὴν Κίτρους (νοεμβρ. 1617), φ. 3β. Ἀνάλεκτα Ἱεροσολ. Σταχυολογίας, τ. IV, σ. 90-92.

4. Ἔγγραφον ἐνσφράγιστον τοῦ Πωγωνιανῆς ἀρχιεπισκόπου Συμεών, δι' οὗ οὗτος, ὀνομάζων ἑαυτὸν ἀνίκανον εἰς ἐξοικονόμησιν τῶν πραγμάτων τῆς ἀρχιεπισκοπῆς αὐτοῦ, δίδωσι δικαίωμα τῷ πατριάρχῃ Τιμοθέῳ τοῦ χειροτονῆσαι κανονικῶς ἕτερον ἀρχιεπίσκοπον Πωγωνιανῆς· τοῦτο δὲ τὸ ἔγγραφον, ὡς ἔχει, γραφὲν καὶ ὑπογραφὲν τῇ 23-ῃ τοῦ φεβρουαρίου μηνὸς ἔτους 1620-οῦ ἐπὶ τῆς πρώτης ἐτέθη σελίδος τοῦ 4-ου φύλλου τοῦ κώδικος.

5. Συνοδικὴ πρᾶξις ψήφων ἐπ' ἐκλογῇ μητροπολίτου Λαρίσσης, τοῦ τέως ἀρχιερατεύσαντος ἐν ταύτῃ τῇ πόλει «θανάτῳ φυσικῷ τὸ ζῆν ἀποβαλόντος», φ. 5α. Πρῶτος ὑποψήφιος ἐτέθη Γρηγόριος ὁ πρώην Βοδενῶν, δεύτερος Ἡσαΐας ἱερομόναχος καὶ τρίτος Ἰωάσαφ ἱερομόναχος. Ἡ πρᾶξις αὕτη γενομένη μηνὶ μαΐῳ τοῦ 1620-οῦ ἔτους ὑπεγράφη ὑπὸ Νεοφύτου Νικομηδείας, Ἀθανασίου Κορίνθου, Διονυσίου Λακεδαιμονίας, Κωνσταντίου Μι-

τυλήνης, Νεκταρίου Χριστιανουπόλεως, Κλήμεντος Προικονήσου καὶ Μακαρίου πρώην Γάνου καὶ Χώρας ἀρχιερέως.

6. Ἔγγραφον Τιμοθέου μητροπολίτου Χαλκηδόνος (μηνὶ μαΐῳ 1620), παραίτησιν διδόντος, «ὡς ὑποπεσόντος εἰς χρέη βαρύτατα ἀπὸ τῶν πολλῶν ἀσθενειῶν καὶ τῶν τοῦ καιροῦ ἀνωμαλιῶν», φ. 5β.

7. Συνοδικὴ πρᾶξις ψήφων ἐπ' ἐκλογῇ μητροπολίτου Χαλκηδόνος, γραφεῖσα μηνὶ ἰουνίῳ ἔτους 1620-οῦ, φ. 6α. Συνοψήφιοι· α') Ἰωσὴφ ἱερομόναχος, β') Ἀβέρκιος ἱερομόναχος, γ') Λαυρέντιος ἱερομόναχος καὶ πρωτοσύγκελλος Κορίνθου. Ὑπεγράφη δὲ τῆς πράξεως ταύτης τὸ πρωτότυπον ὑπὸ Νεοφύτου Νικομηδείας, (Διονυσίου) Λακεδαιμονίας, Γρηγορίου Λαρίσσης, Κωνσταντίου Μιτυλήνης, Κλήμεντος Προικονήσου καὶ Μακαρίου πρώην Γάνου καὶ Χώρας ἀρχιερέως.

8. Ἔγγραφον Σωφρονίου μητροπολίτου Βιδύνης (16 ἰουν. 1620), παραίτησιν διδόντος, «ὡς μὴ δυναμένου ὑποφέρειν καὶ κυβερνᾶν καὶ ποιμαίνειν τὴν ἐπαρχίαν Βιδύνης», φ. 6.

9. Συνοδικὴ πρᾶξις ψήφων ἐπ' ἐκλογῇ μητροπολίτου Βιδύνης, γραφεῖσα μηνὶ ἰουνίῳ ἔτους 1620-οῦ καὶ κυρωθεῖσα μηνὶ αὐγούστῳ τοῦ αὐτοῦ ἔτους, φ. 7α. Συνυποψήφιοι· α') Εὐθύμιος πρωτοσύγκελλος τῆς Μεγάλης Ἐκκλησίας, β') Ἀβέρκιος ἱερομόναχος, γ') Ἀββακοὺμ ἱερομόναχος. Ἡ πρᾶξις ὑπεγράφη ὑπὸ Νεοφύτου Νικομηδείας, Νεκταρίου Χριστιανουπόλεως, Κλήμεντος Προικονήσου καὶ Μακαρίου Γάνου καὶ Χώρας.

10. Συνοδικὴ πρᾶξις ψήφων ἐπ' ἐκλογῇ μητροπολίτου Βερροίας (12 αὐγ. 1618), φ. 8α. Συνυποψήφιοι· α') Κύριλλος ἱερομόναχος, β') Ἄνθιμος μέγας ἀρχιμανδρίτης, γ') Παχώμιος μοναχός. Ἡ πρᾶξις ὑπεγράφη ὑπὸ πέντε ἀρχιερέων, οἷον Θεοφάνους Παλαιῶν Πατρῶν, Μητροφάνους Δρύστης, Ἰωακεὶμ πρώην Δρύστης κτλ.

11. Πρᾶξις ψήφων ἐπ' ἐκλογῇ μητροπολίτου Καφᾶ καὶ Φούλλων (αὐγ. 1618), φ. 9α. Συνυποψήφιοι· α') Γεννάδιος ἱερομόναχος, β') Νεκτάριος ἱερομόναχος, γ') Μελέτιος ἱερομόναχος. Ὑπο-

γραφαὶ ἑπτὰ ἀρχιερέων, οἷον Θεοφάνους Παλαιῶν Πατρῶν, Μητροφάνους Δρύστης, Κυρίλλου Βερροίας, Ἱερεμίου Κίτρους κτλ.

12. Πρᾶξις ψήφων ἐπ' ἐκλογῇ μητροπολίτου Συνάδων, ὡς τῆς πόλεως ταύτης «πρὸ πολλῶν χρόνων ἄνευ γνησίου μητροπολίτου ὑπαρχούσης» (6 μαΐου 1618), φ. 10α. Συνυποψήφιοι· α') Λογγῖνος Πάτμιος ἱερομόναχος, β') Ἰωάσαφ πρωτοσύγκελλος, γ') Γρηγόριος πρωτοσύγκελλος Θεσσαλονίκης. Ὑπεγράφη ὑπὸ πέντε ἀρχιερέων, οἷον Νεοφύτου Νικομηδείας, Πορφυρίου Θεσσαλονίκης (?), Μακαρίου Γάνου καὶ λοιπῶν.

13. Πρᾶξις ψήφων ἐπ' ἐκλογῇ ἀρχιεπισκόπου Ζητουνίου (μηνὶ ἰουνίῳ 1619), ἣν ὑπέγραψαν ἀρχιερεῖς τέσσαρες, οἷον Ἱερεμίας Σηλυβρίας, Κλήμης Προικοννήσου κτλ., φ. 10β. Συνυποψήφιοι· α') Ἰωάσαφ ἐπίσκοπος Θαυμακοῦ, β') Παχώμιος πρωτοσύγκελλος, γ') Ἄνθιμος πρωτοσύγκελλος.

14. Ἔγγραφον παραιτήσεως οἰκειοθελοῦς τοῦ ἐπισκόπου Ζητουνίου Νεοφύτου, λόγῳ ποδαλγίας, γήρατος καὶ χρεῶν, γραφεῖσα καὶ ὑπογραφεῖσα τῇ 26-η τοῦ ἰουνίου μηνὸς ἔτους 1619-ου.

15. Τιμοθέου α' Κωνσταντινουπόλεως γράμμα συνοδικόν, δι' οὗ ἡ ἐπισκοπὴ Ζητουνίου καὶ Πτελεοῦ, γνώμῃ τοῦ μητροπολίτου Λαρίσσης Τιμοθέου, προβιβάζεται εἰς ἀρχιεπισκοπὴν (μηνὶ ἰουνίῳ ἰνδικτ. [ι]ε' = 1617), φ. 11β. Ἀνάλεκτα Ἱεροσολ. Σταχυολογίας, τ. IV, σ. 88-90.

16. Συνοδικὴ πρᾶξις (4 νοεμβρ. 1620), δι' ἧς ὁ πατριάρχης Ἀλεξανδρείας Κύριλλος ὁ Λούκαρις ἀναγορεύεται πατριάρχης οἰκουμενικός, φ. 12α. Ὅρα É. Legrand, Bibliographie hellénique, ou description raisonnée des ouvrages publiés par des Grecs au dix-septième siècle. Paris 1896, τ. IV, σ. 340-342. Ἀνάλ. Ἱεροσολ. Σταχυολογίας, τ. IV, σ. 92-93.

17. Συνοδικὴ πρᾶξις ψήφων ἐπ' ἐκλογῇ πατριάρχου Ἀλεξανδρείας (30 νοεμβρ. 1620), φ. 13α. É. Legrand ἔνθ. ἀνωτ. σ. 342-343.

18. Ὁμολογία πίστεως, αὐτόγραφος, τοῦ ὑποψηφίου πατριάρχου Ἀλεξανδρείας Γερασίμου α', φ. 13β.

19. Συνοδικὴ πρᾶξις περὶ τῶν χρεῶν τῆς Μεγάλης Ἐκκλησίας (1 δεκ. 1620), φ. 15β. Ἀνάλεκτα Ἱεροσολ. Σταχυολογίας, τ. IV, σ. 93-95. É. Legrand ἔνθ. ἀνωτ. σ. 343-345,

20. Ἔγγραφον τοῦ μητροπολίτου Μηθύμνης Γαβριήλ, δι' οὗ δίδωσιν οὗτος παραίτησιν οἰκειοθελῆ «διὰ τὸ μὴ δύνασθαι ὑποφέρειν τὰ συνεχῶς ἐπερχόμενα (αὐτῷ) ἀλλεπάλληλα σκάνδαλα καὶ τοὺς κατὰ τόπον συνεχεῖς καὶ κινδύνους καὶ πειρασμοὺς τοὺς ὑπὸ τῶν δυναστῶν», φ. 16β. Ἐγράφη καὶ ὑπεγράφη τῇ 24-ῃ τοῦ φεβρουαρίου μηνὸς ἔτους 1621-ου.

21. Πρᾶξις ψήφων, γραφεῖσα μηνὶ ἰανουαρίῳ ἔτους 1622-ου, ἐπ' ἐκλογῇ μητροπολίτου Μεσημβρίας, «ὡς τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος Κυριακοῦ θανάτῳ φυσικῷ τὸ ζῆν ἀπολιπόντος», φ. 17α. Συνυποψήφιοι· α') Ἀκάκιος ἱερομόναχος. β') Παΐσιος ἱερομόναχος, γ') Εὐθύμιος ἱερομόναχος. Παρόντες ἀρχιερεῖς· Θεοφάνης Παλαιῶν Πατρῶν, Παρθένιος Αἴνου, Παρθένιος Βάρνης, Εὐθύμιος Φαναρίου καὶ Γρηγόριος Ἄνδρου.

22. Ἑτέρα μηνὶ φεβρουαρίῳ ἔτους 1622-ου, ἐπ' ἐκλογῇ μητροπολίτου Ἡρακλείας, «ἅτε τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος Τιμοθέου ἤδη τὸν βίον ὑπεξελθόντος», φ. 19α. Συνυποψήφιοι· α') Νεόφυτος ἱερομόναχος καὶ πνευματικός, ἀρχιμανδρίτης τῆς Μεγάλης Ἐκκλησίας· β') Δανιὴλ ἱερομόναχος, γ') Λαυρέντιος ἱερεύς. Παρόντες ἀρχιερεῖς· Θεοφάνης Παλαιῶν Πατρῶν, Τιμόθεος Σερρῶν, Παρθένιος Αἴνου, Παρθένιος Βάρνης, Ἀκάκιος Μεσημβρίας.

23. Ὁμολογία πίστεως τοῦ ὑποψηφίου μητροπολίτου Ἡρακλείας Νεοφύτου, φ. 19β.

24. Ἔγγραφον παραιτήσεως τοῦ Παροναξίας Ἰωσὴφ (1 φεβρ. 1622), φ. 20β.

25. Πρᾶξις ψήφων ἐπ' ἐκλογῇ ἀρχιερέως Παροναξίας (1622), φ. 21α. Συνυποψήφιοι· α') Ἱερεμίας λογιώτατος ἱερομόναχος, β') Παΐσιος ἱερομόναχος, γ') Νεόφυτος ἱερομόναχος. Παρόντες ἀρχιερεῖς· Θεοφάνης Παλαιῶν Πατρῶν, Τιμόθεος Σερρῶν, Παρθένιος Αἴνου, Ἀκάκιος Μεσημβρίας, Εὐθύμιος Φαναρίου καὶ Μελχισεδὲκ Ῥαιδεστοῦ.

26. Πατριαρχικὸν καὶ συνοδικὸν σημείωμα, ἔχον οὕτως· «Ἐπειδὴ ὁ πρὸ ὀλίγου καθαιρέσει τελείᾳ καθυποβληθεὶς ἐπίσκοπος Ζητουνίου - - δι' ἅπερ ἐτόλμησεν, ὡς φαίνονται κατ' εἶδος ἐν τῇ καθαιρέσει αὐτοῦ, συνοδικῷ γράμματι, οὐχ ὑπετάγη οὔτε ἐπείσθη τῇ συνοδικῇ ἡμῶν ἀποφάσει, ἀλλ' ἔχων συνήγορον καὶ συμβοηθὸν τὸν σὺν αὐτῷ καθαιρεθέντα παπᾶ Παῦλον, τὸν οἰκονόμον αὐτοῦ, καὶ ἄλλους τινάς, προσέδραμεν τῇ ἔξω δυνάμει καὶ ἐνέβαλεν ἡμῖν τε καὶ τῷ ἱερωτάτῳ αὐτοῦ γέροντι ἁγίῳ Λαρίσσης - - κῦρ Γρηγορίῳ - - εἰς σκάνδαλον καὶ ταραχάς, δι' ὧν ἔμελλε προβῆναι μεγάλη ζημία, τούτου χάριν διασκεψάμενοι τὸ περὶ τούτου συνοδικῶς ἐκρίναμεν κοινῇ γνώμῃ εἰρηνεῦσαι τὸ αὐτὸ σκάνδαλον καὶ οἰκονομικῶς συμπερᾶναι. Καὶ δὴ γράφομεν καὶ λέγομεν, ἵνα, τό γε νῦν ἔχον, δοθῇ πρὸς αὐτὸν τὸν ποτὲ ἐπίσκοπον Ζητουνίου - - γράμμα ἀθωώσεως καὶ συγχωρήσεως εἰς τὸ ἀπελθεῖν εἰς τὴν ἐπισκοπὴν αὐτοῦ καὶ ἀρχιερατεύειν, ὁμοίως καὶ πρὸς τὸν παπᾶ Παῦλον εἰς τὸ ἱερατεύειν, ἕως οὗ, εὐκαιρίας (δοθείσης) καὶ διορθώσεως καὶ ἀπαλλαγῆς τῆς κατεπειγούσης βίας καὶ μεσιτείας (γενομένης), βεβαιώσωμεν καὶ ἐπικυρώσωμεν πάλιν τὰς προγεγονυίας αὐτῶν καθαιρέσεις, καὶ ἐλέγξωμεν καὶ παιδεύσωμεν αὐτοὺς ἀμφοτέρους ὡς ἀπειθεῖς τῆς συνοδικῆς ἡμῶν ἀποφάσεως καὶ καταφρονητὰς τῆς ἐκκλησιαστικῆς τάξεως καὶ καταστάσεως. Ὅθεν καὶ εἰς δήλωσιν ἐγένετο καὶ τὸ παρὸν ἡμῶν πατριαρχικὸν καὶ συνοδικὸν σημείωμα ἐν ἔτει ζ-ῳ ρ ῳ λ-ῳ [= 1622], ἐν μηνὶ ἰουνίῳ, ἰνδ. ε'. Ὁ Κυζίκου Παρθένιος, ὁ Ἀθηνῶν Θεοφάνης, ὁ Παλαιῶν Πατρῶν Θεοφάνης, ὁ Ναυπάκτου καὶ Ἄρτης Γαβριήλ», φ. 21β.

26. Πρᾶξις ψήφων (μηνὶ ἰουνίῳ 1622) ἐπ' ἐκλογῇ μητροπολίτου τῆς ἐπαρχίας Εὐρίπου, «ἅτε τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος Ἰωάσαφ ἤδη τὸν βίον ὑπεξελθόντος», φ. 22α. Συνυποψήφιοι· α') Ἰωάσαφ ἱερομόναχος, β') Ἀκάκιος ἱερομόναχος, γ') Συμεὼν ἱερομόναχος. Ἀρχιερεῖς παρόντες· Παρθένιος Κυζίκου, Θεοφάνης Παλαιῶν Πατρῶν, Γαβριὴλ Ναυπάκτου καὶ Ἄρτης, Ἰγνάτιος Χίου, - - Τζίας καὶ Θερμίων, Μελχισεδὲκ Ῥαιδεστοῦ, Γρηγόριος Ἄνδρου, Ζαχαρίας Πρεσπῶν.

27. Πρᾶξις ψήφων (μηνὶ μαΐῳ 1622) ἐπ' ἐκλογῇ μητροπολίτου τῆς ἐπαρχίας Κορίνθου, «ἅτε τοῦ ἐν αὐτῇ ἀρχιερατεύσαντος Ἀνθίμου δι' ἣν αἰτίαν κατακτικρὺ φαίνεται εὐλόγῳ τρόπῳ ταύτης στερηθέντος», φ. 23^α. Συνυποψήφιοι· α') Νεόφυτος ἱερομόναχος καὶ τῆς Μεγάλης Ἐκκλησίας ἐφημέριος, β') Χριστόφορος ἱερεύς, γ') Διονύσιος ἱερεύς. Ἀρχιερεῖς παρόντες ὀκτώ, οἷον Παρθένιος Κυζίκου, Ἰωάσαφ Προύσης, Θεοφάνης Ἀθηνῶν, Γρηγόριος Αἴνου, Γρηγόριος Ἄνδρου καὶ λοιποί.

28. Συνοδικὴ πρᾶξις περὶ τῶν χρεῶν τῆς Μεγάλης Ἐκκλησίας (μηνὶ ἰουλίῳ 1624). Ἀρχ. «Ἡ κατὰ τὸν καιρὸν τοῦτον συναχθεῖσα» κτλ., φ. 24^α. Ἀνάλεκτα Ἱεροσολ. Σταχυολογίας, τ. IV, σ. 95-97. É. Legrand ἔνθ. ἀνωτ. σ. 345-347.

29. Κυρίλλου α' Κωνσταντινουπόλεως γράμμα πρὸς τοὺς χριστιανοὺς τῆς μητροπόλεως Κορίνθου συνοδικὸν (ἰουλ. 1624), ἀγγέλλον αὐτοῖς τὴν καθαίρεσιν τοῦ μητροπολίτου Κορίνθου Νεοφύτου (πρβλ. ἀριθ. 27), φ. 25. É. Legrand ἔνθ. ἀνωτερ. σελ. 347-348.

30. Πρᾶξις ψήφων ἐπ' ἐκλογῇ μητροπολίτου Κορίνθου (σεπτ. 1624), φ. 26^α. Συνυποψήφιοι· α') Δανιὴλ πρωτοσύγκελλος τῆς Μεγάλης Ἐκκλησίας, β') Παχώμιος ἱερομόναχος, γ') Ἀκάκιος ἱερομόναχος καὶ πατριαρχικὸς πρωτοσύγκελλος. Παρόντες ἀρχιερεῖς· Θεοφάνης Παλαιῶν Πατρῶν, Ἰωάσαφ Λακεδαιμονίας, Ἱερεμίας Παροναξίας, Κλήμης Προικονήσου.

31. Δανιήλ, ὑποψηφίου μητροπολίτου Κορίνθου, πίστεως ὁμολογία, φ. 26^β.

32. Πρᾶξις ψήφων (18 ἀπριλ. 1626) ἐπ' ἐκλογῇ μητροπολίτου τῆς ἐπαρχίας Τορνόβου, τοῦ τέως αὐτῆς ἀρχιερέως Γαβριὴλ ἀποθανόντος, φ. 27^β. Συνυποψήφιοι· α') Μακάριος ἀρχιδιάκονος τῆς Μεγάλης Ἐκκλησίας, β') Γρηγόριος πρωτοσύγκελλος τῆς Μεγάλης Ἐκκλησίας, γ') Λαυρέντιος πρωτοσύγκελλος. Παρόντες ἀρχιερεῖς· Θεοφάνης Παλαιῶν Πατρῶν, Κλήμης Προικονήσου, Δανιὴλ Κορίνθου, Ἰωάσαφ Εὐρίπου, Νεόφυτος Νέων Πατρῶν, Μελχισεδὲκ Ῥαιδεστοῦ, Μητροφάνης Θηβῶν, Δανιὴλ - - -

33. Μακαρίου, ὑποψηφίου μητροπολίτου Τορνόβου, ὁμολογία πίστεως, φ. 28^{α}.

34. Πρᾶξις ψήφων (26 ἀπριλ. 1626) ἐπ' ἐκλογῇ μητροπολίτου τῆς ἐπαρχίας Σερρῶν, τοῦ τέως ἐν αὐτῇ μητροπολίτου Τιμοθέου «τὸ ζῆν ἀποβαλόντος», φ. 28^{β}. Συνυποψήφιοι· α') Ἀχίλλειος ἱερομόναχος καὶ πρωτοσύγκελλος Παλαιῶν Πατρῶν, β') Δοσίθεος προηγούμενος τῆς μονῆς τοῦ Μεγάλου Σπηλαίου, γ') Ἰεζεκιὴλ πρωτοσύγκελλος τῆς Μεγάλης Ἐκκλησίας. Ἀρχιερεῖς παρόντες· Μακάριος Τορνόβου, Θεοφάνης Παλαιῶν Πατρῶν, Δανιὴλ Κορίνθου, Ἰωάσαφ Εὐρίπου, Νεόφυτος Νέων Πατρῶν, Κλήμης Προικονήσου, Μητροφάνης Θηβῶν.

35. Πρᾶξις ψήφων (μηνὶ ἰουλίῳ ἔτους 1641) ἐπ' ἐκλογῇ μητροπολίτου Μεσημβρίας, φ. 29^{α}. Συνυποψήφιοι· α') Δαμασκηνὸς μητροπολίτης Βιζύης, β') Ἰγνάτιος πρώην μητροπολίτης Σοφίας, γ') Θεοδόσιος πρώην μητροπολίτης Μηδείας. Ἀρχιερεῖς παρόντες· Παχώμιος Χαλκηδόνος, Γρηγόριος Λαρίσσης, Νεόφυτος Μονεμβασίας, Δανιὴλ Ἀθηνῶν.

36. Ἰωαννικίου β' Κωνσταντινουπόλεως ἐπιστολὴ συνοδικὴ (μηνὶ δεκ. 1646) πρὸς τοὺς κατοίκους τῆς ἐπισκοπῆς Σκύρου περὶ τοῦ τρόπου καθ' ὃν ἡ πατριαρχικὴ λαμβάνεται ζητία καὶ περὶ τοῦ ὅτι ὁ τῆς Σκύρου ἐπίσκοπος Γαβριὴλ ἐξ ἑαυτοῦ τὸ βασιλικὸν μόνον ὀφείλει διδόναι χαράτζιον, φ. 30^{α}. Ὑπογραφαί· Ἄνθιμος Κυζίκου, Κύριλλος Νικομηδείας, Παχώμιος Χαλκηδόνος, Δανιὴλ Σερρῶν, Νεόφυτος Ἀδριανουπόλεως, Διονύσιος Τορνόβου, Λαυρέντιος Τραπεζοῦντος, Κορνήλιος Μηθύμνης, Παρθένιος Μιτυλήνης, Μελέτιος Σηλυβρίας, Νεῖλος ἐπίσκοπος Ντζίας καὶ Θερμίων, Σωφρόνιος Γαρδικίου.

37. Συνοδικὸν ἔγγραφον, δι' οὗ Κύριλλος β' ὁ ἐκ Βερροίας ὑποβάλλεται καθαιρέσει τελείᾳ. Ἀρχ. «Καὶ τοῦτο παρὰ τῆς ἁγίας» κτλ., φ. 31^{α}-32^{β}. Τὸ πέρας τούτου τοῦ ἐγγράφου ἐλλείπει τῷ κώδικι. Ὅρα Ἀνάλεκτα Ἱεροσολυμιτικῆς Σταχυολογίας, τ. IV, σ. 97-102.

38. Πρᾶξις συνοδική, δι' ἧς τῇ 1-ῃ τοῦ ἰουλίου μηνὸς ἔτους

1639-ου πατριάρχης οἰκουμενικὸς ἀνεκηρύχθη Παρθένιος α' ὁ ἀπὸ Ἀδριανουπόλεως, φ. 33α. Ἀνάλ. Ἱεροσολ. Σταχυολογίας, τ. IV, σ. 103.

39. Ἔγγραφον ἔχον οὕτως αὐτολεξεί (φ. 36α)· «Ἐπειδὴ καὶ ἔφθασε καὶ ἐγένετο ψήφῳ κανονικῇ μητροπολίτης Σοφίας ὁ πρώην Κορίνθου κῦρ Ἰεζεκιήλ, καὶ ἔλαβε τὴν μητρόπολιν αὐτὴν Σοφίας δηλαδὴ παρ' ἐμοῦ τοῦ Ἰγνατίου, διὰ τὸ εἰρηνικὸν καὶ ἀσκανδάλιστον καὶ ἀτάραχον καὶ ἀζήμιον τῆς μητροπόλεως, αὐτὸς μὲν ὁ κῦρ Ἰεζεκιὴλ οἰκείᾳ βουλῇ καὶ προαιρέσει καὶ θελήσει ὑπέσχετο πληρῶσαι τὸ ἐν τῇ μητροπόλει αὐτῇ χρέος τοῦ ἐκλαμπροτάτου καὶ περιφανεστάτου Ῥετζὲπ-ἀγᾶ ἄσπρων χιλιάδας ἑκατὸν τριάκοντα τέσσαρας, τοῦ ἐνδοξοτάτου καδὴ καπιτζῆ Μουσταφᾶ-ἀγᾶ ῥεάλια τρεῖς καὶ ἐννεακόσια καὶ ἕτερα χίλια γρόσια τῆς ζητίας, ποσούμενα τὰ πάντα δηλαδὴ (εἰς) τέσσαρας χιλιάδας καὶ ἐννεακόσια, τοῦ Ἀλῆ τζελεπῆ Σοφιαλῆ καὶ τοῦ γιασακτζῆ Ἀλῆ-πασία καὶ τοῦ σερασερτζῆ Ἀλῆ τζελεπῆ, τῶν τριῶν, γρόσια χίλια ἑκατόν, καὶ τοῦ Σαλὴχ τζελεπῆ γρόσια ὀκτακόσια, καὶ ἀπαλλάξαι ἐμὲ καὶ τοὺς ἐγγυητάς μου τῆς ἐνοχῆς τοῦ αὐτοῦ χρέους, ἐγὼ δὲ ἑκουσίως καὶ οἰκειοθελῶς ποιῶ παραίτησιν τοῦ αὐτοῦ θρόνου μου Σοφίας πρὸς τὸν κῦρ Ἰεζεκιὴλ τοῦτον ἔμπροσθεν τοῦ παναγιωτάτου μου καὶ λογιωτάτου αὐθέντου καὶ δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου κυρίου Παρθενίου, συνοδικῶς προκαθημένου, οὐ μὴν δὲ τῆς ἀρχιερωσύνης μου, καὶ ἀπὸ τανῦν εἴημι [sic] μακρὰν τῆς αὐτῆς ἐπαρχίας καὶ μηδεμίαν μετοχὴν ἔχων ἔτι ἐν αὐτῇ, ἀλλ' ἔστω κύριος τῆς αὐτῆς ἐπαρχίας Σοφίας ὁ κῦρ Ἰεζεκιὴλ οὗτος, παρέχων, ὡς ὑπέσχετο, τὸ ἀνώτερον χρέος· εἰς ἔνδειξιν δὲ καὶ ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσά μου οἰκειοθελὴς καὶ ἀβίαστος παραίτησις καὶ κατεστρώθη ἐν τῷ ἱερῷ τούτῳ κώδικι τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας: — ἐν ἔτει ͵αχμῳ [=1640], μηνὶ σεπτεμβρίῳ ιθ-η, ἰνδ. θ-ης. † Ὁ πρώην Σοφίας Ἰγνάτιος στέργω ὡ(ς) ἄνοθεν [sic]. — (Μάρτυρες). † Ὁ Χαλκειδόνος [sic] Παχώμιος. — † Ὁ Μονεμβασίας Νεόφυτος. — † Ὁ Βιδύνης Σωφρόνιος. — † Ὁ Φιλίππων καὶ Δράμας Γεράσιμος. — † Ὁ Βάρ-

νης Μελέτιος». Διὰ δὲ πατριαρχικῆς χειρὸς ἐπεκυρώθη τοῦτο τὸ ἔγγραφον «ἐν μηνὶ αὐγούστῳ, ἰνδ. ιβ'».

40. Παρθενίου α' Κωνσταντινουπόλεως πρᾶξις συνοδική, ἧς τὸ πέρας ἐλλείπει τῷ κώδικι, φ. 37β. Καθαιρεῖται διὰ ταύτης ὁ Τραπεζοῦντος μητροπολίτης Ἄνθιμος, ὡς προφανῶς ἀδικῶν τοὺς χριστιανοὺς τῆς αὐτοῦ ἐπαρχίας, προδιδούς τε αὐτοὺς «τοῖς κατὰ τόπον κρατοῦσι» Τούρκοις καὶ μέθῃ καὶ κραιπάλῃ σχολάζων «ἀπὸ πρώτης ὥρας τῆς ἡμέρας μέχρι τῆς ἐσχάτης», καὶ ὡς ἀμελῶς διακείμενος περὶ τὴν ἐκκλησιαστικὴν ἀκολουθίαν κτλ.

41. Παρθενίου α' Κωνσταντινουπόλεως πρᾶξις συνοδική (φ. 38β), δι' ἧς ὁ προχρηματίσας Κορίνθου μητροπολίτης Ἰωάσαφ, ὡς οὐκ ἀποδοὺς τὴν ὁρισθεῖσαν αὐτῷ πατριαρχικὴν ζητίαν καὶ τὰ χρέη τοῦ Ἰεζεκιήλ, ὃν διεδέξατο ἐν τῇ μητροπόλει Κορίνθου, καθαιρέσει τελείᾳ ὑποβάλλεται. Ἡ πρᾶξις αὕτη ἐγένετο παρόντων ἀρχιερέων δώδεκα, τοῦ Ἡρακλείας Ἰωαννικίου, τοῦ Λακεδαιμονίας Ἰωάσαφ, τοῦ Χαλκηδόνος Παχωμίου, τοῦ Νικομηδείας Κυρίλλου, τοῦ Εὐρίπου Ἰεζεκιήλ, τοῦ Χίου Ἱερεμίου, τοῦ Νικαίας Πορφυρίου, τοῦ Ἀδριανουπόλεως Παρθενίου, τοῦ Μονεμβασίας Νεοφύτου, τοῦ Βάρνης Παρθενίου, τοῦ Ἀμασείας Μητροφάνους κτλ.

42. Πρᾶξις ψήφων (φεβρ. 1641) ἐπ' ἐκλογῇ μητροπολίτου Παλαιῶν Πατρῶν, τοῦ τέως τοιούτου καθαιρέντος, φ. 39α. Συνυποψήφιοι· α') Θεοφάνης πρώην Φαναρίου καὶ Νεοχωρίου, β') Ἰάκωβος πρώην Γάνου καὶ Χώρας, γ') Θεοφάνης πρώην Μηδείας. Ἀρχιερεῖς παρόντες· Ἰωαννίκιος Ἡρακλείας, Παχώμιος Χαλκηδόνος, Παρθένιος Ἀδριανουπόλεως, Κύριλλος Νικομηδείας, Νεόφυτος Μονεμβασίας, Πορφύριος Νικαίας, Ἰωάσαφ Λακεδαιμονίας, Τραπεζοῦντος - - , Εὐρίπου Ἰεζεκιήλ, Βάρνης Παρθένιος, Κορίνθου Γρηγόριος, Χίου Ἱερεμίας, Βιζύης Δαμασκηνός.

43. Παρθενίου α' Κωνσταντινουπόλεως συνοδικὴ πρᾶξις (ὀκτ. 1643), δι' ἧς ὁ μητροπολίτης Ἰωαννίνων Καλλίνικος ὡς ἀπειθὴς καὶ ἀνυπότακτος ὑποβάλλεται καθαιρέσει, φ. 40α. Ὑπογραφαί· Ἰωαννίκιος Ἡρακλείας, Γρηγόριος Λαρίσσης, Παχώμιος Χαλκηδόνος, Παρθένιος Ἀδριανουπόλεως, Γαβριὴλ Λακεδαιμονίας.

44. Κυρίλλου α΄ Κωνσταντινουπόλεως ἐγκύκλιον γράμμα (φ. 41β), οὗ τὸ τέλος ἐλλείπει τῷ κώδικι· παραδίδωσι δὲ τοῦτο εἰς κοινὸν ἀνάθεμα τὸν Ἀθανάσιον Πατελάρον, πατριάρχην ἐπιβάτην, καὶ τοὺς σὺν αὐτῷ πάντας (Πρβλ. «Ἡμέρας» ἀριθ. 874). Τὸ πρῶτον μέρος τοῦ γράμματος ἔχει ὧδε· «Γνώριμον εἶναι καὶ φανερὸν εἰς ὅλους τοὺς εὐσεβεῖς χριστιανούς, ὅτι ἡ ἐκκλησία τοῦ Χριστοῦ πολλαῖς φοραῖς ἐταράχθη καὶ ἐσυγχύσθη ἀπὸ κάποιους κακοὺς ἀνθρώπους καὶ ὁποῦ φόβον Θεοῦ δὲν ἔχουν, οὔτε κρίσιν καὶ ἀνταπόδοσιν προσδοκοῦν, καὶ πολλαὶ ζημίαι καὶ ἔξοδα προεξενήθησαν καὶ χρέος βαρύτατον καὶ ἀνυπόφορον, καὶ πάντα ὁ παναγιώτατος καὶ σοφώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης ὁ οἰκουμενικὸς πατριάρχης καὶ οἱ εὑρισκόμενοι ἀδελφοὶ ἡμῶν εἶχον μεγάλαις πείραξαις καὶ ταραχάς· διὰ τὸ ὁποῖον βαρύτατον χρέος μὲ σκέψιν συνοδικὴν ἐσυνάχθημεν ὅλοι οἱ ἀρχιερεῖς καὶ ἐμελετούσαμεν τοῦ αὐτοῦ χρέους τὴν διόρθωσιν, καὶ ἐν τῷ μεταξὺ τούτῳ μελετοῦντες συνέβη ἐκεῖνο τὸ πολὺ καὶ μεγάλον σκάνδαλον κατὰ τὸ φθινόπωρον, καθὼς ὅλοι σας τὸ ἠξεύρετε, καὶ πάλιν μὲ τὴν δύναμιν τοῦ Θεοῦ εἰρηνεύσαμεν τὰ πράγματα, ἀλήθεια μὲ πολλὰς ἐξόδους· καὶ ἐπάνω ὅπου ἄρχισεν ἡ Ἐκκλησία τοῦ Χριστοῦ νὰ διορθώνετε μὲ τὴν δύναμιν τοῦ Θεοῦ καὶ νὰ εὑρίσκῃ ὀλίγην ἄνεσιν καὶ ὁ παναγιώτατος καὶ σοφώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης, καὶ ἡμεῖς καὶ οἱ λοιποὶ πάντες ἀρχιερεῖς νὰ εἰρηνεύωμεν, ἐπανέστη ὁ Πατελάρος Ἀθανάσιος Θεσσαλονίκης, παρακινούμενος ἀπὸ τὰ ἔργα τοῦ πατρός του, τοῦ πονηροῦ Διαβόλου, καὶ χωρὶς ἀφορμὴν ἐτάραξε τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, ἔχων ὁμογνώμονας εἰς τὸ κακὸν αὐτοῦ ἐπιχείρημα τὸν τρισκατάρατον ἀνεψιὸν αὐτοῦ Νεόφυτον ἱερομόναχον καὶ τὸν ἀπὸ Θεοῦ ὠργισμένον Σπανὸν γούναρην καὶ ἄλλους πολλούς, καὶ ληστρικῶς καὶ ἐπιβατικῶς τὸν πατριαρχικὸν τοῦτον θρόνον ἐπῆρε καὶ ἐζημίωσε τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ περισσότερον τῶν ἑξήκοντα φορτίων ἄσπρων, καὶ ἔκαμε φθορὰν καὶ καταδίκην μεγάλην εἰς τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ. Διὰ τοῦτο, κοντὰ εἰς τὴν ἐκφωνηθεῖσαν κατ' αὐτοῦ συνοδικὴν καθαίρεσιν, ἔχομεν καὶ ἡμεῖς αὐτὸν τὸν ἐπιβάτην Ἀθα-

νάσιον Πατελάρον, τὸν κακῶς καὶ παρὰ κανόνας λογισθέντα τάχα πατριάρχην, ἢ μᾶλλον εἰπεῖν μανδριάρχην, μετὰ τοῦ παράφρονος καὶ ἀσυνειδήτου αὐτοῦ ἀνεψιοῦ κακο-Νεοφύτου καὶ τοῦ ὠργισμένου Γεωργίου Σπανοῦ καὶ ἄλλων θεοκαταράτων καὶ συνεργῶν αὐτοῖς ἀφωρισμένους παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ κατηραμένους καὶ ἀσυγχωρήτους καὶ μετὰ θάνατον ἀλύτους, καὶ νὰ εὕρουν καὶ τὸν Θεὸν μαχόμενον ἐν ἡμέρᾳ τῆς κρίσεως, καὶ νὰ σχίσῃ ἡ γῆ καὶ νὰ καταπίῃ αὐτούς, ὡς τὸν Δαθὰν καὶ Ἀβειρών, καὶ νὰ κληρονομήσουν τὴν λέπραν τοῦ Γιεζῆ καὶ τὴν ἀγχόνην τοῦ Ἰούδα, στένοντες καὶ τρέμοντες, ὡς τὸν Κάιν, ἐπὶ τῆς γῆς» κτλ.

45. Κυρίλλου β′ τοῦ ἐκ Βερροίας ὑποσχετικὸν πρὸς τὴν σύνοδον τῆς ἐκκλησίας Κωνσταντινουπόλεως γράμμα, οὗ τὸ πέρας μόνον ἐσώθη (φ. 22α)· ἔχει δὲ τοῦτο ὧδε· «- - φυλάξαι καὶ στέρξαι ταῦτα ἀπαρασαλεύτως καὶ ἀμετατρέπτως, καὶ ἐπικυρῶσαι ἐν πολλῇ τῇ ἀσφαλείᾳ καὶ βεβαιῶσαι καὶ μὴ κατά τι ἐναντιηθῆναι [sic] εἰς ταῦτα πάντα, συμφέροντα ὄντα καὶ χρειώδη εἰς τὰ τῆς εἰρήνης καὶ καταστάσεως τῆς ἡμῶν μετριότητος καὶ τῆς ἀδελφότητος τῶν ἱερωτάτων ἀρχιερέων, καὶ τῆς διορθώσεως τῆς Μεγάλης Ἐκκλησίας καὶ τῶν βαρυτάτων αὐτῆς χρεῶν· καὶ ἐὰν ὀψέποτε ἐξέλθω τῶν τοιούτων καὶ ἀθετήσω τι ἐξ αὐτῶν καὶ παραβλέψω, ὑπόδικος εἴημι [sic] παντὸς δεσμοῦ καὶ ἀρᾶς συνοδικῆς. Ὅθεν εἰς βεβαίωσιν καὶ ἔνδειξιν πάντων ἐπέδωκα τοῖς ἱερωτάτοις αὐτοῖς συναδέλφοις μου ἀρχιερεῦσι τὸ παρὸν ἐκδόσεως γράμμα ἐν ἔτει ͵αχλε′, μαΐῳ, ἰνδ. γ′. † Κύριλλος ὁ ἐκ Βερροίας».

46. Κυρίλλου β′ τοῦ ἐκ Βερροίας συνοδικὴ πρᾶξις (μηνὶ μαΐῳ 1635), ἐμπεριέχουσα τόμον ἐξ ὀκτὼ ἄρθρων, φ. 40α-43β. Ἀρχ. «Τὸ ἐν ταῖς μεγάλαις τῶν διοικήσεων συνεργοὺς ἅμα καὶ συναντιλήπτορας τοῖς ἡγεμόσι προχειρίζεσθαι» κτλ. Ὑπογραφαί· Νεόφυτος Ἡρακλείας, Ἄνθιμος Κυζίκου, Νεόφυτος Νικομηδείας, Πορφύριος Νικαίας, Μακάριος Τυρνόβου, Γρηγόριος Λαρίσσης, Παρθένιος Ἰωαννίνων, Χριστόφορος Φιλιππουπόλεως, Σερρῶν Δανιήλ.

47. Κυρίλλου β' τοῦ ἐκ Βερροίας συνοδικὴ πρᾶξις (1636) περὶ τῶν χρεῶν τῆς Μεγάλης Ἐκκλησίας. Ἀρχ. «Πολλάκις ἡ τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία ἐδεήθη συνόδου ἀρχιερατικῆς» κτλ., φύλλ. 44α.

48. Πρᾶξις ψήφων (δεκ. 1625) ἐπ' ἐκλογῇ μητροπολίτου Ῥόδου, τοῦ τέως τοιούτου Φιλοθέου τὸ ζῆν ἐκμετρήσαντος, φ. 45α. Συνυποψήφιοι· α') Παχώμιος ἱερομόναχος, β') Μάξιμος ἱερεύς, γ') Γρηγόριος μέγας πρωτοσύγκελλος. Ἀρχιερεῖς παρόντες· Νεόφυτος Νικομηδείας, Δανιὴλ Κορίνθου, Μητροφάνης Μονεμβασίας, Θεοφάνης Παλαιῶν Πατρῶν, Μιτυλήνης Κωνστάντιος, Προικονήσου Κλήμης, Ἕλους (?) Διονύσιος, Πρεσπῶν Ζαχαρίας.

49. Πρᾶξις ψήφων (ἰαν. 1625) ἐπ' ἐκλογῇ μητροπολίτου Φιλίππων καὶ Δράμας, φ. 45β. Συνυποψήφιοι· α') Ἀβέρκιος ἱερομόναχος καὶ πρωτοσύγκελλος τῆς Μεγάλης Ἐκκλησίας, β') Ἀκάκιος πνευματικός, γ') Παχώμιος ἱερεύς. Παρόντες ἀρχιερεῖς ὀκτώ.

50. Κυρίλλου α' Κωνσταντινουπόλεως συνοδικὴ πρᾶξις (μηνὶ μαΐῳ 1625), δι' ἧς καθαιρεῖται ὁ Χαλκηδόνος Ἰωάσαφ, «ὁ παρανόμως δραξάμενος τῆς ἀρχιερωσύνης καὶ ἀναξίως - -, ὃς συνωμόσατο καὶ συνεφώνησε μετὰ τοῦ τρισκαταράτου καὶ ἀναθεματισμένου στραβο-Ἀμασείας Γρηγορίου ἐν ἅπασι τοῖς ἀθεμίτοις ἐκείνου ἔργοις» κτλ., φ. 46α. Ὑπογραφαὶ ὀκτὼ ἀρχιερέων· Νεόφυτος Ἡρακλείας, Παλαιῶν Πατρῶν Θεοφάνης «καὶ ἐπίτροπος τῆς συνόδου», Κορίνθου Δανιήλ, Κλήμης Προικονήσου, Εὐρίπου Ἰωάσαφ, Θηβῶν Μητροφάνης, Ῥαιδεστοῦ καὶ Πανίου Μελχισεδὲκ κτλ.

51. Πρᾶξις ψήφων (μηνὶ μαΐῳ 1625) ἐπ' ἐκλογῇ μητροπολίτου Χαλκηδόνος, τοῦ τέως τοιούτου Ἰωάσαφ καθαιρεθέντος, φ. 46β. Συνυποψήφιοι· α') Γρηγόριος, λογιώτατος ἱερομόναχος καὶ πνευματικὸς καὶ μέγας πρωτοσύγκελλος τῆς Μεγάλης Ἐκκλησίας· β') Κύριλλος, λογιώτατος ἱερομόναχος, ὁ ἐν τῇ Καστελιωτίσσῃ ἱερουργῶν· γ') Θεοδόσιος ὁ θεοφιλέστατος ἐπίσκοπος τοῦ Γολγοθᾶ. Ἀρχιερεῖς παρόντες· Θεοφάνης Π. Πατρῶν, Δανιὴλ Κορίνθου, Ἰωάσαφ Εὐρίπου, Κλήμης Προικονήσου, Μελχισεδὲκ Ῥαιδεστοῦ, Μητροφάνης Θηβῶν.

*

52. Κυρίλλου β' τοῦ ἐκ Βερροίας συνοδικὴ πρᾶξις (1636), δι' ἧς καθαιρεῖται ὁ Ἐλασσῶνος Ἰωάσαφ, φ. 47α.

53. Πρᾶξις ψήφων (μαρτ. 1636) ἐπ' ἐκλογῇ ἀρχιερέως Ἐλασσῶνος, φ. 47β. Συνυποψήφιοι· α') Κάλλιστος ἱερομόναχος, β') Γρηγόριος ἱερομόναχος, γ') Σωφρόνιος ἱερομόναχος.

54. Ὁμολογία πίστεως ἀρχιερέως τινός, φ. 48.

55. «Ψῆφος τῆς ἐν Κωνσταντινουπόλει συνόδου κατὰ τῶν αἱρετικῶν κεφαλαίων Κυρίλλου τοῦ Λουκάρεως, τοῦ παραχωρήσει Θεοῦ πατριαρχεύσαντος ἐν Κωνσταντινουπόλει», φ. 49. Τὸ πέρας ἐλλείπει τῷ κώδικι. Ἀρχ. «Πάντων μὲν τῶν κοινῇ συντελούντων» κτλ. L. Allatii, De ecclesia occidentalis atque orientalis perpetua consensione. Coloniae 1648, σ. 1061-1065.

56. Κυρίλλου α' Κωνσταντινουπόλεως ἐγκύκλιον γράμμα (1634), οὗ ἡ ἀρχή· «Γνώριμον καὶ φανερὸν εἰς ὅλους» κτλ., φ. 50α.

57. «Τὸ παρὸν ἀνεγνώσθη ἐπ' ἐκκλησίας» 1634. Ἀναθεματισμός, οὗ ἡ ἀρχή· «Ἐπειδὴ καὶ ὁ παραβάτης Ἀθανάσιος ὁ Πατελάρος, ὁ ποτὲ Θεσσαλονίκης, ἔχοντας συμβούλους καὶ συνεργοὺς αὐτοῦ» κτλ., φ. 51α.

58. Τὸ πέρας ὁμολογίας πίστεως Καλλίστου, ὑποψηφίου μητροπολίτου Λήμνου, γραφεῖσα μηνὶ μαΐῳ, φ. 52α.

59. Τιμοθέου α' Κωνσταντινουπόλεως συνοδικὴ πρᾶξις (δεκ. 1616), δι' ἧς ἀποκαθίσταται, κηρυχθεὶς ἀθῷος, εἰς τὸν αὐτοῦ θρόνον ὁ Λήμνου μητροπολίτης Κλήμης, φ. 52β. Ὑπογραφαί· Πορφύριος Νικαίας, Παΐσιος Θεσσαλονίκης, Γαβριὴλ Νικομηδείας, Τιμόθεος Χαλκηδόνος, Γαβριὴλ Τορνόβου, Θεοφάνης Ἀθηνῶν, Θεοφάνης Παλαιῶν Πατρῶν (ἔχων καὶ τὴν γνώμην Ἀνθίμου Κορίνθου), Μητροφάνης Μονεμβασίας, Τιμόθεος Σερρῶν, Γαβριὴλ Γαγγρῶν, Γρηγόριος Τζερβενοῦ, ἀνώνυμος ἀρχιερεὺς Πρεσλάβας, Ἱερεμίας Κίτρους, Λαυρέντιος πρώην Βιζύης, ἀνώνυμος πρώην μητροπολίτης Μονεμβασίας, Νεόφυτος Μετρῶν, ὁ μέγας λογοθέτης (ἔχων καὶ τὰς γνώμας τοῦ Ἱεροσολύμων Θεοφάνους, τοῦ Λαρίσσης Τιμοθέου, τοῦ Θηβῶν ἐπισκόπου, τοῦ Προύσης Ἰωάσαφ, τοῦ Παροναξίας Νικηφόρου καὶ τοῦ Ἴμβρου Μακαρίου), ὁ μέγας ῥή-

τωρ (ἔχων καὶ τὰς γνώμας τοῦ Ἐφέσου Γαβριήλ, τοῦ Ναυπάκτου καὶ Ἄρτης Γαβριήλ, τοῦ Μυτιλήνης Κωνσταντίου, τοῦ Βιδύνης Σωφρονίου καὶ τοῦ Διδυμοτείχου).

60. Τιμοθέου α' Κωνσταντινουπόλεως συνοδικὴ πρᾶξις (σεπτ. 1615), δι' ἧς, γνώμῃ καὶ τοῦ πατριάρχου Ἱεροσολύμων Θεοφάνους, καθαιρεῖται ὁ μητροπολίτης Οὐγκροβλαχίας Λουκᾶς, ἐπειδὴ οὔτε «τὸ νενομισμένον (ἔδωκεν) ἐτήσιον ἢ ἄλλην τινὰ βοήθειαν εἰς τὰς ἀναγκαίας χρείας τῆς καθ' ἡμᾶς ἐκκλησίας, ὡς καὶ οἱ λοιποὶ συναδελφοὶ αὐτοῦ ἀρχιερεῖς, οὔτε ὅλως ὑποδοχὴν καὶ δεξίωσιν ἐνεδείξατο πρὸς ἀνθρώπους ἐκκλησιαστικούς, ἀλλὰ κατεφρόνησε καὶ εἰς οὐδὲν ἐλογίσατο, καὶ ταῦτα γινώσκων καλῶς ὡς ἐπιβατικῶς ἐγκρατὴς ἐγένετο τοῦ θρόνου αὐτοῦ καὶ εἰς ἄλλας μυρίας παρανομίας καὶ ἀτοπίας ἔνοχος», φ. 53α. Ὑπογραφαὶ ἑπτά, οἷον Ἱερεμίου Κίτρους, Ἀχιλλείου Μονεμβασίας, Γαβριὴλ Γαγγρῶν, Νεοφύτου Κερασοῦντος κτλ. Ἡ αὐτὴ πρᾶξις καὶ ἐν τῇ ὀπισθίῳ σελίδι τοῦ 53-ου φύλλου.

61. Πρᾶξις ψήφων (2 σεπτ. ,ζρκε', ἰνδ. ιε') ἐπ' ἐκλογῇ μητροπολίτου διὰ τὴν χηρεύουσαν μητρόπολιν Οὐγκροβλαχίας, φ. 54α. Συνυποψήφιοι· α') Μακάριος πρώην μητροπολίτης Γάνου καὶ Χώρας, β') Ἰγνάτιος πρωτοσύγκελλος, γ') Ἄνθιμος πρωτοσύγκελλος. Ὑπογραφαὶ ἀρχιερέων ἕξ.

62. Τιμοθέου α' Κωνσταντινουπόλεως περὶ τῆς ἐπισκοπῆς Κασσανδρείας συνοδικὴ πρᾶξις, ἧς τὸ τέλος ἐλλείπει τῷ κώδικι, φ. 54β. Ἡ πρᾶξις αὕτη, καθὰ φαίνεται, ἐγένετο ἔτει 1612-ῳ· ἡ δὲ ὑπόθεσις αὐτῆς ἐστι τοιαύτη, ὅτι ὁ παραίτησιν οἰκειοθελῆ δοὺς ἀπὸ τοῦ πατριαρχικοῦ θρόνου Νεόφυτος β' εἶχεν ἀποσπάσας ἀδίκως ἀπὸ τῆς μητροπόλεως Θεσσαλονίκης τὴν ἐπισκοπὴν Κασσανδρείας, προβιβάσας αὐτὴν εἰς τάξιν ἀρχιεπισκοπῆς, καὶ ὅτι νῦν ἀξιώσει Παϊσίου μητροπολίτου Θεσσαλονίκης ἡ ἐπαρχία Κασσανδρείας εἰς τὴν ἐπισκοπικὴν αὐτῆς ἐπανέρχεται τάξιν, ὀφείλουσα διὰ παντὸς ἐντεῦθεν εἶναι τῇ μητροπόλει Θεσσαλονίκης ὑποτεταγμένη.

5. Κῶδιξ τοῦ πνευματικοῦ δικαστηρίου τῆς Μεγάλης Ἐκκλησίας Κωνσταντινουπόλεως, γραφεὶς τῇ ἑπτακαιδεκάτῃ ἑκατονταε-

τηρίδι καὶ συνιστάμενος ἐκ φύλλων χάρτου στιλπνοῦ καὶ παχέος εἴκοσι καὶ ὀκτώ, μήκους μὲν 0,415, πλάτους δὲ 0,288. Τὸ κείμενον ἐγράφη ὑπὸ δύο διαφόρων χειρῶν· ἄγραφα δ' ἀφέθη τὰ τρία ἔσχατα φύλλα.

1. «Ἀνακεφαλαίωσις τῶν ἁγιωτάτων πατριαρχῶν, τῶν ὁροθεσιῶν, καὶ συναρίθμησις τῶν ἀποστολικῶν θρόνων», ἔτι δὲ τάξις προκαθεδρίας τῶν ἁγιωτάτων πατριαρχῶν, ἧς τὸ πέρας ἔχει τὸ σημείωμα τόδε· «Ἡ παροῦσα ἔκθεσις ἐγεγόνη [sic] ἐν ἔτει ,ςτκα' [sic], ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Σοφοῦ καὶ Φωτίου πατριάρχου», φ. 1-12. Πρβλ. G. Parthey, Hieroclis Synecdemus, σ. 56-94 καὶ 138-145.

2. Πράξεις τῶν οἰκουμενικῶν πατριαρχῶν Διονυσίου γ', Παρθενίου δ', Διονυσίου δ', Γερασίμου β' καὶ Ἰακώβου (1662-1685) περὶ γάμων διαλυθέντων, διαζυγίων καὶ λοιπῶν, φ. 13-25. Ἐν ταῖς πράξεσι ταύταις ὁ φιλίστωρ εὑρίσκει πολλῶν οἰκογενειῶν ὀνόματα καὶ χρησιμωτάτην ὕλην εἰς ἀναπαράστασιν τοῦ περὶ διαζυγίων κανονικοῦ δικαίου, ὡς τοῦτο ἡρμηνεύετο καὶ παρὰ τοῖς ὀρθοδόξοις ἐφηρμόζετο τῇ ἑπτακαιδεκάτῃ ἑκατονταετηρίδι.

6. Τεῦχος τῆς τεσσαρεσκαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων χάρτου παχέος 409, μήκους 0,38, πλ. 0,28· οὗ τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 36 (0,32 × 0,20). Ἐν τῷ ἐσχάτῳ φύλλῳ σημείωμα παλαιόν· «✝ ἐτούτον τὸ χαρτὴν ἔνε τοῦ Μπέλτζου· ἔχη Πραξαπόστολον τοῦ μοναστηρίου, νὰ ἐπάρῃ τὸ χαρτήν του»· ἔγραψε δὲ τοῦτο τὸ σημείωμα οὕτως ὡς ἔχει πιθανῶς αὐτὸς ὁ τοῦ κώδικος γραφεύς. Εἶτα σημείωμα ἕτερον τῆς ιζ' ἑκατ. «✝ Ἡ παροῦσα βίβλος ὑπάρχει κτῆμα μονῆς τοῦ κῦρ Διονυσίου», τῆς ἐν τῷ Ἁγίῳ Ὄρει. — Γρηγορίου τοῦ Θεολόγου ὁμιλίαι δέκα μετὰ τῆς εἰς αὐτὰς ἑρμηνείας Νικήτα Σερρῶν, ἧς ἡ ἀρχή· «[Εἰ]κοστῷ δευτέρῳ ἀριθμῷ τῶν τοῦ μεγάλου πατρὸς ἡμῶν Γρηγορίου τοῦ τῆς θεολογίας φερωνύμου» κτλ.

7. Τεῦχος ἐκ φύλλων χάρτου 7 + 206 + 6 (μήκους 0,38, πλ. 0,258), γραφὲν περὶ τὸ τέλος τῆς ἑπτακαιδεκάτης ἑκατον-

ταετηρίδος· τούτων δὲ τῶν φύλλων τὰ μὲν ἑπτὰ πρώτιστα καὶ τὰ ἓξ ἔσχατα παντάπασιν ἄγραφα, πλὴν ἀλλ' ὕστερον ἐπὶ τῆς ὀπισθίου σελίδος τοῦ 7-ου τῶν τοιούτων φύλλων ἐγράφη τὸ σημείωμα τόδε· «Καὶ τόδε τῶν ἀφιερωθέντων τῇ σεβασμίᾳ αὐθεντικῇ μονῇ τῆς Παναγίας Τριάδος, τοῦ Βακαρεστίου, παρὰ τοῦ ὑψηλοτάτου καὶ σοφωτάτου αὐθέντου καὶ ἡγεμόνος πάσης Οὐγγροβλαχίας κυρίου κυρίου Ἰω(άννου) Νικολάου Ἀλεξάνδρου βοεβόδα. ͵αψκζ-ῳ ἰαννουαρίου» [=1727]. Τὸ τεῦχος τοῦτο ἐπὶ τῆς ῥάχεως ἔχει τὸ «Ἀλεξάνδρου Μαυροκορδάτου Ῥωμαϊκὴ ἱστορία»· ταύτης δὲ τῆς ἱστορίας ἐν αὐτῷ τῷ τεύχει περιέχεται τὸ «Βιβλίον δ'. Περὶ τῶν γεγενημένων Ῥωμαίοις ἀπὸ μοναρχίας Γαΐου Ἰουλίου Καίσαρος ἕως πρώτου φιλοχρίστου καὶ εὐσεβεστάτου βασιλέως τοῦ μεγάλου Κωνσταντίνου». Ἀρχ. «Ἡ Ῥωμαίων αὐτοκράτωρ ἀρχὴ γεννᾶται τῆς πόλεως ἔτει ψε', ἐκκλησιαστικῆς περιόδου ͵ευξα', ἀπὸ Ἀβραὰμ ͵αϡπθ', Ὑρκανοῦ ἀρχιερατεύοντος» κτλ. Τέλος· «καὶ Βιταλιανὸν ἐπάρχοντα πρὸς Μαξιμίνου ἀπέκτειναν, ἐκείνοις δὲ τὰς βασιλικὰς εὐφημίας ἀνέπεμψαν». Τὸ κείμενον ἀριθμεῖ φύλλα 206· ἔστι δὲ κατὰ μίαν ἑκάστην τῶν σελίδων μονόστηλον ἐκ γραμμῶν 27 (0,27 × 0,16).

8. Τεῦχος χάρτινον ἐκ σελίδων ἠριθμημένων 223, γραφὲν περὶ τὴν ἀρχὴν τῆς ἐννεακαιδεκάτης ἑκατονταετηρίδος· τούτου δὲ τὰ φύλλα μήκους μέν ἐστι 0,375, πλάτους δὲ 0,258.

«Ἀπανθίσματα διαφόρων ἁγίων πατέρων τῆς ἀνατολικῆς καθολικῆς καὶ ἀποστολικῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας». Ἀρχ. «Περὶ Ἀγγέλων. Ἄγγελός ἐστιν οὐσία νοερὰ ἀκίνητος» κτλ. Ταῦτα δὲ τὰ ἀπανθίσματα οὐδὲν ἄλλο ἐστίν, ἢ μέρη τινὰ συγγραφῶν Γρηγορίου τοῦ Ναζιανζηνοῦ, Νείλου τοῦ μεγάλου, Γρηγορίου τοῦ Νύσσης, Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀντωνίου τοῦ μεγάλου, Ἀθανασίου τοῦ Ἀλεξανδρείας καὶ Συμεὼν τοῦ Νέου Θεολόγου, καὶ ταῦτα διττῶς, πρωτοτύπως τε καὶ παραπεφρασμένως· μεθ' ἃ φύλλα τὸ τεῦχος ἔχει τρία, ὧν δύο μὲν ἐμπεριέχει τὸν πίνακα τῶν ἀπανθισμάτων, τὸ δὲ πρὸ τούτων ἁπλῶς ἐγκρύπτει τόδε μόνον τὸ σημείωμα· «1811 ἰουνίου α': Κωνσταντινούπο-

λις: — | Καὶ τόδε ξὺν τοῖς ἄλλοις, κτῆμα ἐμὸν τυγχάνει. Νικῆτα Χατζῆ Γεωργίου τοῦ ἐκ Σύμης: — | Ἀγορασθὲν ὑπ' ἐμοῦ δι' ὀβολῶν τετρακοσίων, ὅστις δὲ τοῦτο ἤθελε συλήσει περιφέρων ἐν τῇ ψυχῇ του τὰς ἀρὰς» κτλ.

9. Τὸ πρωτότυπον ἐπισήμου γράμματος ἐνσφραγίστου τῆς Ἀγγλικανῆς Ἐκκλησίας πρὸς τὴν Καθολικὴν Ὀρθόδοξον Ἀνατολικὴν Ἐκκλησίαν, ἀποσταλὲν αὐτῇ ἔτει 1722-ῳ· τοῦτο δὲ τὸ γράμμα, ὡς ἔχει, φύλλ' ἀριθμεῖ δέκα (μήκους 0,37, πλ. 0,248), τοῦ πρώτου μόνου παντάπασιν ὄντος ἀγράφου· τῶν δὲ γεγραμμένων τὸ κείμενόν ἐστι μονόστηλον ἐκ γραμμῶν τριάκοντα ἢ δύο καὶ τριάκοντα (0,268 × 0,165). Ἐπιγραφή· «Τοῖς παναγιωτάταις καὶ σοφωτάτοις τῆς Ἀνα|τολικῆς ὀρθοδόξου Ἐκκλησίας Πατριάρχαις, | τῷ Κωνσταντινουπόλεως Κυρίῳ Ἱερεμίᾳ, τῷ Ἀλεξανδρείας Κυρίῳ Σαμουήλ, | τῷ Ἀντιοχείας Κυρίῳ Ἀθανασίῳ, | καὶ τῷ Ἱερουσαλὴμ Κυρίῳ Χρυσάνθῳ, | τοῖς τε πανιερωτάτοις Μητροπολίταις, καὶ τοῖς | ἁγιωτάτοις Ἐπισκόποις, τῷ εὐαγεῖ Κλήρῳ, καὶ πᾶσι τοῖς Ἑλλήνων ὀρθοδόξοις· Ἡ τῶν ἐν Βριταννίᾳ Καθολικῶν λειψάνων | ἀμοιβὴ τῇ Ἀνατολικῶν Ὀρθοδόξων ἀποκρί|σει ἐπὶ τὴν μετ' ἀλλήλων συμφωνίαν | πεποιημένη». Ἀρχ. «Πρὶν ἄρχεσθαι τὰ τῆς παλαιᾶς ἐν Βριταννίᾳ ὀρθοδοξίας λείψανα» κτλ. Τέλος· «Τοῦτο δὲ πρᾶγμα συνοδικῶς ἐγένετο παρ' ἡμῖν τοῖς καθολικῆς ἐν Βριταννίᾳ ἐκκλησίας Ἐπισκόποις, παρόντων ἐκ τοῦ Κλήρου πολλῶν, καὶ ταύτῃ τῇ διατάξει συμφωνούντων. — | Γέγραπται ἐν Λονδίνῳ ἐν ἔτει σωτηρίῳ ‚αψκβ-ῳ, ἐν μηνὶ μαΐου κθ-ῃ: — Ὁ Σκοτο-Βρεταννίας ἐπίσκοπος Ἀρχὶβάλδος (καὶ τύπος τῆς αὐτοῦ σφραγῖδος). — Ὁ Ἀγγλο-Βρεταννίας πρῶτος ἐπίσκοπος Ἱερεμίας (καὶ τύπος τῆς αὐτοῦ σφραγῖδος). — Ὁ Σκοτο-Βρεταννίας ἐπίσκοπος Ἰάκωβος (ὡσαύτως). — Ὁ Ἀγγλο-Βρεταννίας ἐπίσκοπος Θωμᾶς (ὡσαύτως). — Ὁ μέγας χαρτοφύλαξ Θωμᾶς ὁ τοῦ Διακόνου».

10. «Τύπος τῆς Λειτουργίας Δείπνου τοῦ Κυριακοῦ, ἢ τῆς παναγίας Συνάξεως», ὡς αὕτη τελεῖται ἐν τῇ Ἀγγλικανῇ Ἐκκλησίᾳ. Ἀρχ. «Σπουδαίως ἐπιμελήσει ἅπας ἱερεὺς» κτλ. Φύλλα 12, μήκους 0,37, πλ. 0,248, γραφέντα καὶ συναποσταλέντα ἔτει 1722-ῳ τῷ προδεδηλωμένῳ ἀγγλικανῷ γράμματι (ἀριθ. 9).

11. Λειτουργικὸν Εὐαγγέλιον τῆς ἑνδεκάτης ἑκατονταετηρίδος, κομισθὲν ἐκ Σμύρνης, ἀκέφαλον καὶ κολοβόν, ἀριθμοῦν δέ, ὡς ἔχει, φύλλα μεμβράνινα 369, μήκους 0,385, πλ. 0,285. Τὸ κείμενον αὐτοῦ ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ σχῆμα σταυροειδὲς ἔχει, οὕτως ὥστε πᾶσα σελὶς ἀναπαρίστησι σταυρόν, οὗ τὸ μὲν ἄνω κέρας ἀριθμεῖ γραμμὰς ἑπτά, τὸ δὲ κάτω γραμμὰς ὀκτώ, τὸ δὲ μεσαῖον γραμμὰς δέκα (0,235 × 0,175) [1]· καὶ διὰ τὸ τοιόνδε τῶν σελίδων σχῆμα καὶ διὰ τὸν πολὺν τοῦ κειμένου κόσμον, ἔστι τὸ τεῦχος τοῦτο καλλιγράφημα πολλοῦ λόγου ἄξιον· περιέχει γὰρ ἐν ἑαυτῷ καὶ χρυσᾶς ἐπιγραφάς, καὶ γράμματά τινα κεφαλαιώδη μεγάλου σχήματος ἐγκαλλώπιστα, κεχρυσωμένα τε καὶ πολυχρώματα, καὶ πορφυρᾶ πανταχοῦ σημαδόφωνα. Τὸν κώδικα τοῦτον προπεριέγραψεν ἄλλως Ἐμμανουὴλ Ἰωαννίδης, ὃς εὗρεν ἐν αὐτῷ καὶ σημείωμα τοιόνδε· «† Τὸ παρὸν Εὐαγγέλιον ὑπάρχει τῆς Παναγίας μου τῆς Καλαμιώτισσας μητροπόλεως Θύρας, ὅνπερ ἀφιέρωσεν αὐτόν, ὁ Μαστροϊωάννης ὁ τὸ ἐπίκλην Χαντζῆς· ὅνπερ ἀγοράσας αὐτὸ ἀπὸ τὸν παπᾶ κὺρ Γερμανὸν ἄσπρα ρνε′ καὶ ὅστις τὸ ὑστερήσει ἀπὸ τὸν ναὸν τῆς Παναγίας μου τῆς ἐπονομαζομένης Καλαμιώτισσας μητροπόλεως Θυρῶν ἕξει Θεὸν μαχόμενον ἐν τῇ φρικτῇ καὶ φοβερᾷ ἡμέρᾳ τῆς παρουσίας αὐτοῦ, καὶ τὴν αὐτοῦ μητέρα καὶ ἀειπάρθενον Θεοτόκον Μαρίαν καὶ τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ πάντων τῶν ἁγίων ἀμήν. ἔτους ͵ζοθ′ [=1561] μηνὶ μαρτίου ἰνδικτ. ιδ′» [Ὁ ἐν Κωνσταντινουπόλει Ἑλλην. Φιλολογ. Σύλλογος, τ. II, 1864, σ. 64]. Σημειωτέον, ὅτι ἔνδον τῆς δευτέρας πινακίδος εὗρον ἐγὼ φύλλον μεμβράνινον (μήκους 0,275, πλ. 0,265), οὗτινος ἡ γραφὴ μεγάλη καὶ τρόπον τινὰ παρεμφερὴς πρὸς τὴν οὕτω μεγάλην καὶ ἀραιὰν γραφὴν τῶν παλαιτάτων χρυσοβούλλων λόγων· πᾶσα δὲ σελὶς αὐτοῦ τὸ κείμενον ἔχει μονόστηλον ἐκ γραμμῶν 15 (0,165 × 0,155)· αὐτὸ δὲ τοῦτο τὸ κείμενον, γρα-

[1] Πρβλ. C. R. Gregory, Prolegomena, σ. 768, ἀριθ. 792, ἔνθα οὐκ ὀρθῶς ὁ κῶδιξ οὗτος λέγεται καλλιγράφημα τῆς τρίτης εἶναι καὶ δεκάτης ἢ τῆς κατόπιν ἑκατονταετηρίδος.

φὲν περὶ τὸ τέλος τῆς ἐνάτης ἑκατονταετηρίδος καὶ μέρος ἱκανὸν ἀποτελοῦν τῆς ϟβ' διατάξεως Λέοντος τοῦ Σοφοῦ, ἀνέγνων ὧδε· «- - - τοιαυτηι συμφορᾶι καὶ βαθεῖ οὔ|τω σκότωι [sic] εκ τῶν πόνων κεκτῆ|σθαι τοῦ τὸ σκότοσ αὐτῶ δημιουρ|γήσαντοσ. Ἀλλὰ γὰρ εἰ καὶ | οὕτω κέκριται, οὐκ ἦν ὥσπερ εἶπον | γνώμη. τὸ κριθὲν ποιεῖν νομοθέτημα. Ἐπειδὴ δὲ ὦ [sic] τῶν εντοῖσ θεί|οισ ἡμῶν αποφερόμενοσ. οὗ ε|γὼ. πῶσ. ἂν αποπέμψαιμι τὴν | ἀξίωσιν. εισ νόμουσ ἀξιοῦν [sic] τὴν | τοιαύτην κρίσιν διϊασκευασθῆναι. | δια τὸ τῆσ διαθέσεωσ φιλάν|θρωπον. ὡσ ἂν απο γε τοῦ νῦν, | εἰ ποτέ τι συμπέσοι τοιοῦτον. τοι|αύτησ. επιτεύξεται διακρίσεωσ | οἷα καν τῶι παρόντι τῶι αδι|κήσαντι ὥρισται ἡ ζημία, πειθό|μεθά τε τῆι προτροπῆι. καὶ τὸ | δόγμα ὁρίζομεν. | Τοιγαροῦν. εἴ τισ ποτὲ εισ ὀφθαλ|μοὺσ επενέγκοι τινὶ ζημίαν. | τοῦτον κελεύομεν. ει μὲν ἕνα. | τῶι ἑνὶ καὶ αυτὸν ζημιοῦσθαι | τὴν ἴσην ὑπεχοντα δίκην. ει δὲ | κατα τῶν δυο τὰσ. κακουργοὺσ | επιβάλοι χεῖρασ. επειδὴ περ|ἐνταῦθα τὸ ἶσον τῆσ ζημίασ | ούτε τῶι αδικηθεντι προσὄνη|σιν. τίσ γὰρ ὄνησισ· τῶ εν σκότει | ζῶντι. ει καὶ αλλον τὸ ἶσον ἔχοι σκό - - - ». Zachariae, Jus Graeco-Romanum, τ. III, σ. 188.

12. Ἰωάννου τοῦ Χρυσοστόμου ὁμιλιῶν εἰς τὴν μωσαϊκὴν Γένεσιν μέρος πρῶτον. Τεῦχος τῆς ἑνδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων μεμβρανίνων 303 (μήκους 0,365, πλ. 0,26), ὧν τὸ κείμενον, βεβλαμμένον πολλαχοῦ ὑφ' ὕδατος, ἔστιν ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ δίστηλον (0,255×0,085). Ὁ τούτου δέτης ἔνδον τῆς πρώτης πινακίδος ἔθετο δύο φύλλα ἑτέρου τινὸς μεμβρανίνου κώδικος τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος, οὗ τὸ κείμενον ἦν ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον· ἔχει δὲ καὶ ταῦτα τὰ φύλλα, καθὰ φαίνεται, μέρος ὁμιλίας τινὸς Ἰωάννου τοῦ Χρυσοστόμου. Τοῦ τεύχους τούτου τὴν ἱστορίαν διδάσκει τὰ σημειώματα τάδε. Φύλλ. 293 «Εκ τις νισου Κίπρου ηφερα το παρὸν βιβλίον απο την κεβεριαστοι (?) και τιχα (?) του Αγι(ου) Ταφου στὸν μεγαλον μαρτίρων Γεωργιου αμην». — Φύλλ. 210α «Ἔτος σρίον 1646 Παΐσιος πριάρχης» (Ἱεροσολύμων). — Φύλλ. 17α «Τὸν παρὼν βιβλίων ηπάρχη του Αγιου Τάφου» κτλ. Εἶτα· «Δανηηλ ἱερο-

μόναχος δοῦλως του Αγιου Τάφου». Καὶ πάλιν· «Τω παρὼν βιβλίων ηπαρχι τις ιερὰς μονις του αγίου Γεωργίου» κἑ, τουτέστι τοῦ ἐν Κωνσταντινουπόλει Μετοχίου τοῦ Παναγίου Τάφου. Καὶ ἐν τῇ δευτέρᾳ σελίδι τοῦ 206-ου φύλλου σημείωμά ἐστιν Ἐφραὶμ υἱοῦ Μαργαρίτου ἱερέως, γραφὲν καὶ κυρωθὲν ὑπὸ Σωφρονίου πατριάρχου Ἱεροσολύμων ἔτει ͵ζϟζ' [1588-1589]· τῷ δὲ σημειώματι τούτῳ δηλοῖ ὁ ῥηθεὶς Ἐφραίμ, ὅτι δῶρον ἔδωκε τῷ Παναγίῳ Τάφῳ τόνδε τὸν κώδικα· διὸ καὶ συνίστησι τὴν εἰς Ἱεροσόλυμα τούτου ἀποστολήν.

13. Τεῦχος ἀκέφαλον, κεκολοβωμένον καὶ βεβλαμμένον ὑφ' ὕδατος, γραφὲν δὲ τῇ ἑνδεκάτῃ ἑκατονταετηρίδι· φύλλα δὲ μεμβράνινα ἀριθμεῖ 162 (μήκους 0,345, πλ. 0,27), ὧν τὸ κείμενόν ἐστι δίστηλον ἐκ γραμμῶν 33 (0,235 × 0,18).

Συμεῶνος τοῦ Μεταφράστου βιβλίον ἁγιολογικὸν τοῦ νοεμβρίου μηνός.

1. Μαρτύριον ἀκέφαλον τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ. Ἀρχ. « - - - να μόνον ἀπορρίψαι τὸν δεύτερον», φ. 1.

2. Μαρτύριον τῶν ἁγίων μαρτύρων Ἀκινδύνου, Πηγασίου, Ἀνεμποδίστου, Ἀφθονίου καὶ Ἐλπιδηφόρου. Ἀρχ. «Εἰ καὶ πρῶτοι Πέρσαι», φ. 3β. Migne τ. 116, σ. 9.

3. Βίος τοῦ ὁσίου Ἰωαννικίου, οὗ ἡ ἀρχή· «Τὴν πρὸς ἀρετὴν ὁδὸν φέρουσαν», φ. 18β. Migne ἔνθ. ἀνωτ. σ. 36.

4. Βίος καὶ πολιτεία τοῦ ὁσίου Γαλακτίωνος καὶ τῆς συμβίου αὐτοῦ Ἐπιστήμης. Ἀρχ. «Τῆς πρὸς τῷ Λιβάνῳ ὄρει», φ. 43β. Migne ἔνθ. ἀνωτ. σ. 93.

5. Μαρτύριον Ἱέρωνος καὶ τῶν σὺν αὐτῷ ἐν Μελιτηνῇ ἀθλησάντων. Ἀρχ. «Ἱέρωνι τῷ γενναίῳ», φ. 48α. Migne ἔνθ. ἀνωτ. σελ. 109.

6. Βίος καὶ πολιτεία τῆς ὁσίας Ματρώνης. Ἀρχ. «Τοὺς σώφρονας τὸν βίον», φ. 53α. Migne ἔνθ. ἀνωτ. σ. 920.

7. Βίος τῆς ὁσίας Θεοκτίστης τῆς Λεσβίας. Ἀρχ. «Εἰκόνες καὶ στῆλαι», φ. 68β. Θεοφίλου Ἰωάννου, Μνημεῖα ἁγιολογικά, σελ. 18.

8. Βίος καὶ πολιτεία Ἰωάννου τοῦ Ἐλεήμονος. Ἀρχ. «Τὰς τῶν ἀγαθῶν ἀνδρῶν», φ. 80α. Migne τ. 114, σ. 896.

9. Βίος ἀτελὴς Ἰωάννου τοῦ Χρυσοστόμου, οὗ ἡ ἀρχή· «Καὶ πάντων μὲν τῶν κατὰ Θεὸν πολιτευσαμένων» φ. 106α. Migne τ. 114, σ. 1045.

14. Τεῦχος τῆς ἑνδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων μεμβρανίνων 293 (μήκους 0, 34, πλ. 0,26), ὧν τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 25 (0,25×0,19)· ἔχει δὲ τὰς ἐπιγραφὰς χρυσᾶς, κοσμήματά τινα ταινιοειδῆ, καὶ πάλιν ἕτερον ἐν τῷ πρώτῳ φύλλῳ κόσμημα, οὗ τὸ σχῆμα παρεμφερὲς πρὸς τὸ γράμμα Π· σημείωμα δέ τι τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος (φ. 1α) δῆλον ποιεῖ, ὅτι τοῦτο τὸ «Βιβλίον Κριτης [=Κρήτης] τῆς μονῆς Ἐλεούσης» ἦν.

Συμεῶνος τοῦ Μεταφράστου βιβλίον ἁγιολογικὸν τῶν μηνῶν μαΐου, ἰουνίου, ἰουλίου καὶ αὐγούστου.

1. Βίος καὶ πολιτεία τοῦ ὁσίου Ἀρσενίου τοῦ μεγάλου (μαΐου η'). Ἀρχ. «Ἀλλὰ τῶν σπουδαίων ἄρα», φ. 1α. Λατινιστὶ παρὰ τῷ Σουρίῳ τῇ ιθ' ἰουλίου.

2. Μαρτύριον τῶν ἁγίων Μανουήλ, Σαβὲλ καὶ Ἰσμαήλ (ἰουν. ιζ'). «Οἱ μὲν ἄλλοι διῶκται», φ. 35β. Ἀκολουθία τῶν ἁγίων ἐνδόξων μαρτύρων Μανουήλ, Σαβὲλ καὶ Ἰσμαήλ, ἐρανισθεῖσα - - παρὰ Μανουὴλ Μάνου. Ἐν Βιέννῃ 1803, σ. 54. Ἀκολουθία ἡ θεία καὶ ἱερὰ καὶ μαρτυρικὴ τῶν ἁγίων καὶ πανενδόξων τοῦ Χριστοῦ μεγίστων ἀθλοφόρων τε καὶ αὐταδέλφων Μανουήλ, Σαβὲλ καὶ Ἰσμαήλ. Ἐν Λειψίᾳ 1815, σ. 117.

3. Βίος καὶ πολιτεία τοῦ ὁσίου Σαμψὼν τοῦ Ξενοδόχου (ἰουν. κζ'). Ἀρχ. «Ἅμα μὲν χάριτος ἔργον», φ. 49β. Migne τ. 115, σελ. 277.

4. «Ὑπόμνημα διαλαμβάνον μερικῶς τοὺς ἀγῶνας καὶ ἆθλα καὶ ἀποδημίας καὶ τελείωσιν τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου» (ἰουν. κθ'). Ἀρχ. «Καὶ τῶν τεχνῶν οὐ μόνον τοὺς ἐξ ἀρχῆς», φ. 70β. Acta Sanctorum, Jun. VII, σ. 374.

5. Μαρτύριον τοῦ ἁγίου Προκοπίου (ἰουλ. η'). Ἀρχ. «Διο-

κλητιανοῦ καὶ Μαξιμιανοῦ τὴν βασιλείαν ἰθυνόντων», φ. 90β. Acta Sanctorum, Jul. II, σ. 556.

6. Μαρτύριον τοῦ ἁγίου Παντελεήμονος (ἰουλ. κζ'). Ἀρχ. «Τῆς εἰδωλικῆς ἀχλύος», φ. 123α. Migne τ. 115, σ. 448.

8. Μαρτύριον τοῦ ἁγίου Ἀρτεμίου (ἰουλ. κθ'). Ἀρχ. «Τῆς εἰδωλικῆς μανίας», φ. 144β.

8. Βίος καὶ πολιτεία τοῦ ὁσίου Εὐδοκίμου (ἰουλ. λα'). Ἀρχ. «Εὐδοκίμου τοῦ κατὰ Θεὸν» κτλ., φ. 151β. Βίος τοῦ ἁγίου καὶ δικαίου Εὐδοκίμου ἐκδ. ὑπὸ Χρυσάνθου Λοπαρέβου. Ἐν Πετρουπόλει 1893.

9. «Διήγησις Ἰωσήπου εἰς τὸ μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων Μακκαβαίων» (αὐγ. α'). Ἀρχ. «Φιλοσοφώτατον λόγον ἐπιδείκνυσθαι μέλλων», φ. 163α. Fabricii-Harles, Bibl. Gr. τ. X, σελ. 272.

10. «Λόγος διαλαμβάνων τὰ ἀπὸ τῆς σεβασμίας γεννήσεως καὶ ἀνατροφῆς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, τῆς θεοπρεποῦς τε γεννήσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ ὅσα μέχρι τῆς ζωηφόρου αὐτῆς συνέδραμε τελευτῆς, προσέτι καὶ περὶ τῆς φανερώσεως τῆς τιμίας αὐτῆς ἐσθῆτος, καὶ ὅπως ὁ μέγας οὗτος πλοῦτος χριστιανοῖς τεθησαύρισται» (αὐγ. ιε'). Ἀρχ. «Ἐχρῆν ἀληθῶς τὴν παρθένον», φ. 192β. Ἱεροσολ. Βιβλιοθ. I, σ. 232, 239, 461. II, σ. 184, 269, 420, 462, 743. Catal. cod. hagiogr. graecorum biblioth. Nationalis Parisiensis. Bruxellis 1896, σ. 103, 154, 156, 209, 224, 225, 250, 324.

11. «Κωνσταντίνου ἐν Χριστῷ βασιλεῖ αἰωνίῳ βασιλέως Ῥωμαίων διήγησις, ἀπὸ διαφόρων ἀθροισθεῖσα ἱστοριῶν, περὶ τῆς πρὸς Αὔγαρον ἀποσταλείσης ἀχειροποιήτου θείας εἰκόνος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ ὡς ἐξ Ἐδέσσης μετεκομίσθη πρὸς τὴν πανευδαίμονα ταύτην τῶν πόλεων Κωνσταντινούπολιν». Ἀρχ. «Οὐκ ἄρα μόνος αὐτὸς» κτλ., φ. 234β. Migne τ. 113, σ. 422.

12. «Λόγος διαλαμβάνων τὰ περὶ τῆς γεννήσεως, ἀνατροφῆς καὶ ἀποτομῆς τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου καὶ βαπτιστοῦ Ἰωάννου τοῦ Προδρόμου, καὶ περὶ τῆς εὑρέσεως τῆς τιμίας αὐτοῦ κε-

φαλῆς» (αὐγ. κθ'). Ἀρχ. «Ἰωάννην, τὸ μέγα κλέος», 256α. Ἱεροσολ. Βιβλιοθήκη, τ. II, σ. 185.

13. «Ὑπόμνημα τῶν ιβ' προφητῶν», ὑποδιῃρημένον εἰς ἰσάριθμα ὑπομνήματα, ὧν πρώτιστον τὸ εἰς τὸν προφήτην Ὠσηέ· ἐλλείπει δὲ τῷ κώδικι τὸ πέρας τοῦ εἰς Μιχαίαν ὑπομνήματος. Ἀρχ. «Τῆς τοῦ λαοῦ διαιρέσεως» κτλ., φ. 281β. Πρβλ. Migne τ. 81, σ. 1552.

15. Τεῦχος ἐκ φύλλων χάρτου στιλπνοῦ 18 (μήκους 0,37, πλ. 0,232), ὧν τὰ ἓξ ἔσχατα παντάπασιν ἄγραφα· ἐγράφη δὲ τοῦτο τὸ τεῦχος ἢ περὶ τὸ τέλος τῆς ὀκτωκαιδεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς ἐννεακαιδεκάτης ἑκατονταετηρίδος, καὶ τῆς πρώτης μὲν ἔνδον πινακίδος ἔχει σημείωμά τι, ὅπερ αὐτὸς ὁ τοῦ τεύχους ἔγραψε καλλιγράφος· πραγματεύεται δὲ τοῦτο «Περὶ τῶν κατὰ Μολδοβλαχίαν ἱερῶν μοναστηρίων τοῦ παναγίου καὶ ζωοδόχου Τάφου, τίνες οἱ ταῦτα οἰκοδομησάμενοι καὶ ἐπὶ τίνος ἁγίου μνήμῃ ἕκαστον τούτων δοξάζεται» [Ἀναλ. Ἱεροσολ. Σταχυολογ. τ. IV, σ. 63]· ἔνδον δὲ τῆς ἑτέρας πινακίδος ὁ αὐτὸς καλλιγράφος ἔγραψε τάδε· «† Σέργιος παῖς ὢν [1], ἐμαθήτευσε παρὰ τῷ σοφωτάτῳ Θεοφάνει ἐν τῇ πατρίδι αὐτοῦ· ἐκεῖθεν δὲ μετέβη εἰς τὸ ὄρος τοῦ Ἄθωνος, καὶ ἐμαθήτευσε παρὰ τῷ μεγάλῳ Εὐγενίῳ Βούλγαρι· αὐτοῦ δὲ ἀναχωρήσαντος ἀπ' Ἄθωνος προέστη πρὸς καιρὸν τῆς ἐκεῖ σχολῆς· κατὰ δὲ τὸ ,αψνθ-ον: σωτήριον ἔτος [=1759], ἀνέβη εἰς Κωνσταντινούπολιν, καὶ ἀναδεξαμένου τοῦ μεγάλου Εὐγενίου τὴν αὐτόθι σχολὴν κατὰ τὸ ,αψξον: ἔτος [=1760], ἠκροάσατο παρ' αὐτοῦ τὰ θεολογικὰ κατὰ τὸ ,αψξαον: ἔτος [=1761]. Ἤκμαζεν οὖν κατὰ τὸ ,αψοον [=1770]: καὶ κατ' αὐτὸ ἀνεδέξατο, μᾶλλον δὲ συνεστήσατο τὴν ἀμεληθεῖσαν πατριαρχικὴν σχολήν, ἣν καὶ προῆγε

[1] Σέργιος οὗτος ὁ Μακραῖος, περὶ οὗ ἀνάγνωθι Κωνσταντίου δ' τοῦ ἀπὸ Σιναίου πατριάρχου Κωνσταντινουπόλεως, τοῦ Βυζαντίου, βιογραφίαν καὶ συγγραφὰς τὰς ἐλάσσονας. Ἐν Κωνσταντινουπόλει 1866, σ. 360. Κ. Σάθα, Μεσαιωνικὴ Βιβλιοθήκη, τ. III, σ. ογ'-πε'. Τὸ γεγραμμένον ὑπὸ Μανουὴλ Γεδεών, ὅτι τῆς πατριαρχικῆς σχολῆς Σέργιος ὁ Μακραῖος «διωρίσθη σχολάρχης ἀπὸ τοῦ 1777» [Χρονικὰ τῆς πατριαρχ. ἀκαδημίας, ἐν Κωνσταντινουπόλει 1883, σ. 155 καὶ 178] ψευδὲς ἀποδείκνυσιν ὁ γράψας τὸ ἐν τῷ ἡμετέρῳ κώδικι σημείωμα.

μέχρι τοῦ ,αψϟγ^ου: ἔτους [=1793], καὶ ἐν αὐτῇ παρέδωκε μαθήματα, ποιητικά, ῥητορικά, λογικά, φυσικά, ἠθικά, πολιτικὰ ἐκ τοῦ Ἀριστοτέλους, θεολογικὰ ἐκ τοῦ θείου Δαμασκηνοῦ καὶ τῶν σχολαστικῶν θεολόγων, ἀριθμητικά, στοιχεῖα ἀλγέβρας, στοιχεῖα γεωμετρίας, γεωγραφίαν». Καὶ ταῦτα μὲν ἔνδον τῶν πινακίδων ἔχει τοῦτο τὸ τεῦχος, αὐτὸ δὲ τὸ τεῦχος ἐν ἑαυτῷ περιέχει τὰς ἐφεξῆς εὐχάς.

1. «Εὐχαὶ τοῦ μεγάλου ἁγιασμοῦ», ὧν ἡ δευτέρα «ποίημα Σωφρονίου πατριάρχου Ἱεροσολύμων», φ. 2 κέ.

2. Εὐχαὶ τῇ Κυριακῇ τῆς Πεντηκοστῆς, ἀναγινωσκόμεναι τὸ ἑσπέρας μετὰ τὴν εἴσοδον, φ. 5^α.

3. «Εὐχὴ Ἀνθίμου πατριάρχου Ἱεροσολύμων εἰς γυναῖκα ἐγκύμονα». Ἀρχ. «Ἀνείκαστε, φιλάνθρωπε» κτλ, φ. 10^α.

4. Εὐχὴ τοῦ ἁγίου Τρύφωνος εἰς ἀμπέλους, ἀναγινωσκομένη τῇ 1-ῃ τοῦ φεβρουαρίου μηνός. Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν», φ. 11^α.

5. «Εὐχὴ ὑπὲρ τῶν ἀπαιρόντων εἰς τὸν Πανάγιον Τάφον προσκυνητῶν». Ἀρχ. «Κύριε Ἰησοῦ Χριστὲ ὁ μόνος ἐν ἐλέει» κτλ., φ. 12^α.

16. Τεῦχος ἐκ φύλλων χάρτου 419 (μήκους 0,368, πλ. 0,255), ὧν τὰ ὀκτὼ πρώτιστα καὶ τὰ ἔσχατα εἴκοσι καὶ ἐννέα παντάπασιν ἄγραφα· ἡ τοῦ τεύχους τούτου γραφὴ ὁμοία ἐστὶ τῇ τοῦ 7-ου τεύχους, τὸ δὲ κείμενον αὐτοῦ ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 29 (0,26×0,16). Πρώτη ἐπιγραφὴ ἐν τῇ προσθίῳ σελίδι τοῦ 9-ου φύλλου· «Ἀλεξάνδρου Μαυροκορδάτου | Ἐπιτομαὶ | Παντοδαπῆς ἱστορίας». Ἑτέρα ἐπιγραφὴ ἐν τῇ προσθίῳ σελίδι τοῦ 10-ου φύλλου· «Ἐπιτομῶν | Παντοδαπῆς Ἱστορίας | Ἀλεξάνδρου Μαυροκορδάτου | Τόμος πρῶτος | Τὰ Ἰουδαϊκά».—Φύλλ. 1 πρόλογος, οὗ ἡ ἐπιγραφή· «Ὁ τῆς ξυγγραφῆς σκοπός».—Φύλλ. 14^α «Ἐπιτομῆς Ἰουδαϊκῶν βιβλίον πρῶτον. Τὰ ἀπὸ καταβολῆς κόσμου ἕως Ἀβραάμ. Τὴν καθόλου τοῦ παντὸς ἱστορίαν» κτλ. Ἡ οὕτως ἐπιγραφομένη βίβλος ἐξεδόθη τύποις ἐν Βουκουρεστίῳ ἔτει 1716-ῳ· τὴν δὲ τῆς ἐκδόσεως ταύτης ἐπιγραφὴν ὅρα ἐν τῷ βιβλιαρίῳ τῷ ἐπιγραφομένῳ: Κατάλογος β'

σπανίων βιβλίων τῆς νεοελληνικῆς φιλολογίας, πωλουμένων ἐν Ἀθήναις παρὰ Π. Λάμπρῳ. Ἀθήνησι 1864, σ. 14, ἀριθ. 34.

17. Τεῦχος τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων ἠριθμημένων 442 (μήκ. 0,35, πλ. 0,275), ὧν τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον (0,25 × 0,185).—Φύλλ. 1α Σειρὰ ἑρμηνειῶν εἰς τὸν προφήτην Ὡσηέ, ἧς ἡ ἀρχή· «Εἰκὼν τῆς τῶν Ἰ[ουδαίων] συναγωγῆς ἑξῆς» κτλ.—Φύλλ. 3α «Εἰς τοὺς προφήτας καὶ εἰς τὰς ἐκδόσεις δι' ἣν αἰτίαν ἐκδέδονται ὑπὸ τῶν ἑβδομήκοντα, ἔτι τε ὑπὸ Ἀκύλα, Θεοδοτίονος, Συμμάχου καὶ τοῦ ἁγίου Λουκιανοῦ, Ἰωσήπου τε καὶ τῶν δύο ἀνωνύμων, καὶ ἐν ποίοις χρόνοις ἐκδέδονται καὶ εὕρηνται αὐτῶν ἐκδόσεις». Ἀρχ. «Τὴν τοῦ ἀνθρώπου ἀεὶ θέλων» κτλ. — Φύλλ. 9α «Προθεωρία τῶν προφητῶν». Ἀρχ. «Οἱ δώδεκα προφῆται» κτλ.—Φύλλ. 23β-95β Σειρὰ ἑρμηνειῶν εἰς τοὺς προφήτας Ἰωήλ, Ἀβδιοῦ, Ἰωνᾶν κτλ.—Φύλλ. 96α «Θεοδωρήτου ἐπισκόπου Κύρου ἑρμηνεία εἰς τὸν προφήτην Ἡσαΐαν». Ἀρχ. «Εἰ μὲν τὴν ἐμαυτοῦ» κτλ.—Φύλλ. 186α Τοῦ αὐτοῦ εἰς τὸν προφήτην Ἱερεμίαν. Ἀρχ. «Χρὴ καθὰ καὶ ἐν ταῖς προλαβούσαις βίβλοις» κτλ. — Φύλλ. 315α Τοῦ αὐτοῦ εἰς τὸν προφήτην Ἰεζεκιήλ. Ἀρχ. «Οἱ μὲν τοῦ σώματος» κτλ. Τρία φύλλα τούτου τοῦ τεύχους ἦν ἐξ ἀρχῆς ἄγραφα (φ. 312-314), ἀλλ' ὕστερον ἔγραψέ τις ἐν αὐτοῖς τὰ σημειώματα ταῦτα [1]· «† Ἐνετ(ει) ‚ςϠί [=1402]· ἤλθεν ὁ Τεμὶρ χάνης· καὶ ἐπολέμισεν μετα τόω Παγηάζητ πεει ἡς την Ανγηραν. μηνὶ ἡουλήο κη ἡμέρα Παρασκεβι. καὶ ἐτζακισεν τον ολοκρατος. καὶ ἐπιασεν αυτον. καὶ ετεθνικεν. μεταταῦτα ἐβασιλεῦσεν ηός αυτοῦ. ἐμῖρσουλμαν πεεις. έν τη είμερα βασιλεβοντος. τοῦ εὐσεβεςστάτου: καὶ φηλοχρῖστου βασιλεος ημον, Μανουήλ. τοῦ Παλεολόγου: — Μετα δε ετους ‚ςϠιη ἤλθεν ὁ αδελφὸς αυτου τοῦ εμῖρ Σουλμαν πεει. ο Μουσιπεεις ἀπο την Βλαχιαν. αφέντεβοντος βοῆβοδα τοῦ Μίρτζου. καὶ ἐτζακοσεν τον Σαρουτζά πασια ης τὴν Διανπολην. μινῆ φευρουαρήω. ιγ ἡμερα παρασκεβή. και ἐπρόςκῖνισαν τα

[1] Παρατίθεμαι δὲ τὰ σημειώματα ταῦτα σχεδὸν ἀκριβῶς, ὡς ἐν τῷ κώδικι ὑπάρχει· τὸ μέντοι ἰῶτα σχεδὸν ἀπανταχοῦ ὅμοιόν ἐστι τῷ λατινικῷ i.

χαστρη τῆς Ρομανηας. σιν τον τοπον ολον. ἔλθὸν δε ὁ ἀδελφὸς του ὁ ἡμίρ Σουλμανης. επερασεν αυτόν βασιλευ Μανοῆλ ο Παλεολόγος. καὶ ἐπολεμισαν ης την Πολην. απανο ἧς το Κοσμίδην μιν ἡοουνιω. ιε. ἡμερα Κιρηακῖ. και ετζακισεν τον Μοσίπεειν. καὶ εδιοξεν αυτον. σιναχθὶς δε πάλην Μοσίπεεις μετα τον ἔξο Τὂυρκὂν. ἡλθεν ἧς τὴν Ανδριανοὺπόλην. καὶ επολεμῖσαν αναμεσον του Κρηβητζήου καὶ τὴν Διχαλῆν Το - - παν. μινὴ ἡουλήο. ια ἡμερα Παρασκεβη. καὶ ἐτζακησεν τον παλην: — Κὲ ἐφηγ(εν) ης τον τοπον Ουλγαρ(ίας) τα μερη Βηδηνας. κάστρον ης τοπο Κολτζοῦ. προς τα μερη Σερβή(ας) καὶ εσιτάρχισεν αυτ(ὸν) κνεζης δεσποτης υος Λαζάρου. — Μετα δε ἐτ (,ςΠ)ιθ^{ου} ετους παλην ελθων Μουσίπεεις εις τα μερη Μακεδονίας κε καταβὰς ἧς την Διανπολ(ιν) ἧς βοῦνην τοὺς Βὂ'ρλονκοῦσ ἐπλημεληεν μετα τους Μουσούλμάνους. κε ἀπο κάστρον ἧς αλον καστρον. ἄνθροπος τοῦ ἡμίρ Σουλμανπεει οὐδέν εδιαβενεν· ακοῦσας δε ἡμὶρ' Σουλμανπεεις ἐλθόν μετα πλήθους τον στρατόν κε αρχόντον. ἧς τὴν Ανδρηανοῦ πόλ(ιν). κε ἐκίνησεν μιραζιν ρογαν πρὸς τα φουσατα οπος παλην διοχυν αυτον. ἡμὶρ Σουλμαν ος πεσὼν ἧς τοῦς λεοτροῦς κε πινον κυ| περησοῦς. γανεκτησας ἡ ἀρχοντες κε ἡ μεγηστανη έφηγαν τα φουσατα κε εκηνισαν φεῦγον πρὸς τον Μουσιπεει. ακοῦσας δὲ ἡμὶρ Σουλμαν πεεις ἐδιλησαεν κε κινησας. ἡς εντροπιν φηγῖς ἐπιασαν αυτόν. ἧς τα μερι τῖς Βρησις κε επνιξαν τον. εν μινι φερουαρηο ιζ ημερα Τρητη».

18. Τεῦχος χάρτινον ἐκ φύλλων ἠριθμημένων 191 (μήκους 0,36, πλ. 0,125), ὧν οὐκ ὀλίγα παντάπασιν ἄγραφα· περιέχει δὲ ἐν ἑαυτῷ πατέρων τινῶν ἐκκλησιαστικῶν ἀποσπάσματα ποικίλα καὶ «Εἰς τὰς τοῦ ἁγίου Ἰσιδώρου τοῦ Πηλουσιώτου ἐπιστολὰς ἀνακεφαλαιώσεις» (φ. 142-152)· ἔνδον δὲ τῆς πρώτης πινακίδος ἀναγινώσκεται τὸ σημείωμα τόδε· «1627 αὐγούστω α' — † Τῶ παρον καταστηχον ἐπροσηλοθη παρα Διμητρίου Ρω^{δ}. εἰς τὴν χώραν τῆς ἐπονομαζομένης Παλαιᾶς Πάτρας· ἔχη δὲ φύλα 199 ∸ ητοι εκατὸν ἐνενηντα ἐνέα. Καὶ ὅπιος ἤθελεν κόψει φῦλον. νὰ ἔχει τὴν καταραν τοῦ δεσπότη».

19. Μηναῖον τοῦ μηνὸς ἰανουαρίου χάρτινον, συνιστάμενον ἐκ φύλλων 200 (μήκ. 0,31, πλ. 0,21), οὗ τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ δίστηλον ἐκ γραμμῶν 35 (0,225×0,155)· μετὰ δὲ τὸ πέρας ὅλου τοῦ κειμένου σημείωμα ὑπάρχει τοῦ καλλιγράφου τοιόνδε· «Ἐτελειώθη τὸ παρὸν μηναῖον ὁ Γεννάριος διὰ χειρὸς ἐμοῦ Ἀμβροσίου ἱερομονάχου ὑπὸ τὴν μονὴν Ἀνδρείων ἐχρονίας ‚αφλ Χ(ριστο)ῦ [=1530]. καὶ κατετέθη εἰς τὴν μονὴν τῆς ὑπερ(αγίας) Θ(εοτό)κου τῶν Ἀψιθίων. δόξα σοι ἁγία τριὰς καὶ ὁ πανάγαθος Θ(εὸ)ς νὰ ἀξιώσ(ῃ) τῆς βασιλείας τῶν οὐ(ρα)νῶν εἴ τις ἦτον ἡ ἀρχεῖ να γϊνοῦν τούτ(α) τὰ βιβλία». Τοῦτο δὲ τὸ μηναῖον ἔτει 1594-φ κτῆμα ἦν Κωστάκη τινός (ὅρα φ. 200β).

20. Τεῦχος τῆς ιζ′ ἑκατονταετηρίδος, ἐκ φύλλων 60, μήκους 0,30, πλ. 0,21, ὅπερ ἦν «Ἐκ τῶν τοῦ Χρυσάνθου ἱεροδιακόνου» τοῦ Νοταρᾶ· βιβλίων ἀπετελέσθη δὲ τοῦτο τὸ τεῦχος πρῶτον ἐκ φύλλων τριάκοντα καὶ πέντε, καὶ δεύτερον ἐκ τετραδίων τινῶν τεσσάρων διαφόρων ἀντιγραφέων.

Α′. Τέσσαρες τύποις ἀνέκδοτοι συγγραφαὶ Παϊσίου τοῦ Λιγαρίδου (ὅρα É. Legrand, Bibliographie hellénique ou description raisonnée des ouvrages publiés par des Grecs au dix-septième siècle, τ. IV, 1896, σ. 49). α′) «Παησίου μητροπολίτου Γαζέων τετάρτη νουθεσία, εἴτ' οὖν καὶ διάλεξις, πρὸς τοὺς λουτεροκαλβινίσαντας Βλάχους ἐν τῇ Ἐρδελίᾳ». Ἀρχ. «Ἠκούσαμεν τὴν διδαχὴν τοῦ διδακτῆ σας» κτλ., φ. 1α. Διάλογος μεταξὺ Βλάχου μαθητοῦ καὶ διδασκάλου ὀρθοδόξου. — β′) «Παησίου μητροπολίτου Γαζέων, παραίνεσις, εἴτ' οὖν διδασκαλία, περὶ τῆς λειτουργίας καὶ τῶν ἀχράντων μυστηρίων, πρὸς τοὺς καλβινολουτερανίσαντας σπουδαίους Βλάχους». Ἀρχ. «Ἐλυπήθημεν πῶς ἐχθὲς» κτλ., φ. 15α. — γ′) «Παησίου μητροπολίτου Γαζέων διάλεξις, εἴτ' οὖν παραίνεσις πρὸς τοὺς αἱρετικούς, καὶ μάλιστα πρὸς τοὺς λουτεροκαλβινίσαντας Βλάχους». Ἀρχ. «Ἐπήγαινα μέσα μου θεωρῶντας» κτλ., φ. 22α. — δ′) Τοῦ αὐτοῦ πρὸς τοὺς αὐτοὺς «β′ νουθεσία, ἤτοι παραίνεσις», φ. 28α.

Β'. Τὸ πρωτότυπον ἑλληνικοῦ γράμματος ἀγγλικανοῦ τινος θεολόγου (ἔτει 1630-ῳ) πρὸς τὸν Ἀλεξανδρείας πατριάρχην Γεράσιμον, φ. 36-49. Τὸ τέλος αὐτοῦ ἐλλείπει τῷ κώδικι.

Γ'. Ἀδήλου ζητημάτων τινῶν θεολογικῶν λύσεις πρός τινα ἱερομόναχον. Ἀρχ. «Δίδωμί σοι τῶν ζητημάτων» κτλ., φ. 50-52.

Δ'. Τύποι, καθ' οὓς δέον ἐπιγράφειν τὰς ἐκπεμπομένας πρὸς διαφόρους ἐπιστολάς, φ. 53-56.—«Διάφοροι ἐρωταποκρίσεις», ὧν ἡ ἀρχή· «Ποῖα φαίνεται παράλογα πεπραχέναι τοῖς Ῥωμαίοις; Ἀπόκρ. Ἐπὶ τῆς βασιλείας» κτλ., φ. 56-58.

Ε'. Ἀδήλου παράφρασις χρησμοῦ τινος τοῦ Λέοντος, οὗ ἡ ἀρχή· «Ἆρα τίς γῆθεν ἀείρας ἐν συστροφῇ με ζεφύρου», φ. 57-60.

21. Τεῦχος τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων χάρτου 38 (μήκ. 0,315, πλ. 0,215), ὧν ἄγραφα ἀφέθη τὰ πρώτιστα τρία καὶ τὰ ἰσάριθμα ἔσχατα φύλλα· περιέχει δὲ τοῦτο τὸ τεῦχος ἐν ἑαυτῷ μετάφρασιν αὐτόγραφον Ἱερεμίου Καχαβέλα συγγραφῆς τινος ἰταλικῆς, ἱστορούσης τὴν ὑπὸ τῶν Τούρκων γενομένην ἔτει 1682-ῳ πολιορκίαν τῆς πόλεως Βιέννης (φ. 6-35), καὶ πρὸ μὲν τῆς συγγραφῆς αὐτῆς ὑπάρχει τοῦ καίσαρος Λεοπόλδου κεχρωματισμένη τις εἰκὼν (φ. 5β), μετὰ δὲ ταύτην τοῦ μεταφράστου προσφώνησις Ἰωάννῃ Σερβάνῳ βοεβόδᾳ τῷ Καντακουζηνῷ, ἡγεμόνι τῆς Οὐγκροβλαχίας· ὁπόθεν δῆλον, ὅτι τὴν αὐτοῦ μετάφρασιν ὁ Ἱερεμίας ἐποίησε μεταξὺ τοῦ 1682-ου καὶ τοῦ 1688-ου ἔτους.

22. Τεῦχος αὐτόγραφον ἱερομονάχου Παρθενίου Γερένη τοῦ ἐξ Ἀθηνῶν, συνιστάμενον ἐκ φύλλων χάρτου 48 (μήκ. 0,308, πλ. 0,215), ὧν τὰ πέντε πρώτιστα καὶ τὰ ἑπτὰ ἔσχατα παντάπασιν ἄγραφα· ἄγραφον δὲ παντάπασιν ἀφέθη καὶ τὸ 10-ον καὶ τὸ 11-ον τοῦ τεύχους φύλλον. Ἐν τῇ προσθίᾳ σελίδι τοῦ 5-ου φύλλου γέγραπτα τοῦ τεύχους ἡ ἐπιγραφή, ἔχουσα οὕτω· «Χρυσάνθου πατριάρχου Ἱεροσολύμων ἀντίρρησις εἰς τὰ ὅσα κακῶς, ψευδῶς καὶ ἀναρμόστως λέγονται εἰς τὸ Προσκυνητάριον τοῦ ἁγίου ὄρους Σινᾶ»·

ἐν τῷ κατόπι φύλλῳ κεῖται τῆς τοιαύτης ἀντιρρήσεως ὁ πρόλογος, μετὰ δὲ τοῦτον (φ. 8-9) ὁ καλλιγράφος ἔγραψε τεμάχη τινὰ συγγραφῶν Παύλου τοῦ ἀποστόλου, Θεοδωρήτου τοῦ ἐπισκόπου Κύρρου καὶ ἑτέρων, πρὸς δὲ τούτοις «Ἐπίγραμμα διὰ στίχων ἡρωελεγείων πρὸς τὸν μακαριώτατον πατριάρχην τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, τὸν σοφώτατον τῆς παρούσης βίβλου συγγραφέα»· ἔστι δὲ ποιητὴς τοῦ ἐπιγράμματος αὐτὸς ὁ καλλιγράφος «Παρθένιος ἱερομόναχος Γεργένης [sic] ὁ ἐξ Ἀθηνῶν». Τὸ δὲ κείμενον τῆς εἰρημένης τοῦ Χρυσάνθου ἀντιρρήσεως εὑρίσκεται μεταξὺ τοῦ 12-ου καὶ τοῦ 31-ου φύλλου· μεθ' ὃ (φ. 32-41) κεῖται «Ἐκ τῆς ἱστορίας Δοσιθέου πατριάρχου Ἱεροσολύμων περὶ τοῦ ὄρους Σινᾶ βιβλίου ὀγδόου κεφάλαιον πρῶτον περὶ τῶν προσκυνουμένων τόπων». Σημειωτέον, ὅτι τὸ κείμενον τῆς ἀντιρρήσεως ἐξεδόθη τύποις Ἑνετίῃσιν ἔτει 1732-ῳ [1], τὸ δὲ τοῦ Παρθενίου ἐπίγραμμα, κατὰ τὸ ἀντίγραφον τοῦ 59-ου κώδικος, κατεχωρίσθη ἐν τοῖς ὑπὸ Δημητρίου Γρ. Καμπουρόγλου συλλεγεῖσι Μνημείοις τῆς Ἱστορίας τῶν Ἀθηναίων, τ. II, σ. 232-233.

23. Τεῦχος χάρτινον, γραφὲν περὶ τὴν ἀρχὴν τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος καὶ συνιστάμενον ἐκ φύλλων, ὡς ἡ τούτων ἀρίθμησις ἔχει, ἐνενήκοντα καὶ τεσσάρων (μήκ. 0,305, πλ. 0,21), ὧν τὰ δύο ἔσχατα παντάπασιν ἄγραφα· ἦν δὲ κτῆμα Νικηφόρου μητροπολίτου Τορνόβου.

1. «Χρησμολόγιον Κωνσταντινουπόλεως, Νέας Ῥώμης, παρῳχημένον, ἐνεστὼς καὶ μέλλον, ἐκ διαφόρων συγγραφέων συλλεχθὲν καὶ συναρμοσθὲν παρὰ τοῦ πανιερωτάτου καὶ σοφωτάτου μητροπολίτου Γάζης κυρίου Παϊσίου, ὑπερτίμου καὶ ἐξάρχου πάσης γῆς Ἐπαγγελίας, Ἀσκάλωνος, Μαϊμᾶ καὶ Μαγδάλων, καὶ τὸν τόπον ἐπέχοντος Καισαρείας Φιλίππου. 1668», φ. 1-38. Ἱεροσολυμ. Βιβλιοθ. I, σ. 255-257. III, σ. 327.

[1] Χρυσάνθου πατριάρχου Ἱεροσολύμων ἀντίρρησις εἰς τὰ ὅσα κακῶς, ψευδῶς, καὶ ἀναρμόστως λέγονται εἰς τὸ Προσκυνητάριον τοῦ Ἁγίου Ὄρους Σινᾶ. Ἐπανορθοῦντος Ἀλεξάνδρου Καγκελλαρίου. Ἑνετίῃσι, 1732. Παρ' Ἀντωνίῳ τῷ Βόρτολι. Con licenza de' superiori, e privilegio. Σελίδες 119. 4-ον.

2. «Ἱστορία, ἤτοι διήγησις περὶ τῆς ἀρχῆς τῶν Ῥωσσῶν· πόθεν κατάγονται οἱ ἀρχηγοὶ αὐτῶν· καὶ περὶ τοῦ πότε καὶ πῶς ἔλαβον τὸ ἅγιον βάπτισμα· καὶ περὶ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου ὁποῦ ἦλθε σωματικῶς εἰς τὴν Ῥωσσίαν, καὶ ἐκήρυξε τὸ θεῖον κήρυγμα· μεταφρασθὲν δὲ καὶ συλλεχθὲν ἐν συντομίᾳ, ἐκ τῶν σλαβαϊκῶν βιβλίων, παρὰ Διονυσίου ῥακενδύτου, καὶ ἀρχιμανδρίτου μέγα τῶν Ἰβήρων, εἰς τὴν ἡμετέραν διάλεκτον, κατὰ τὸ ‚αχξη΄», φ. 38β-92.

24. Τεῦχος χάρτινον ἐκ φύλλων 97 (μήκ. 0,308, πλ. 0,218), γραφὲν περὶ τὸ τέλος τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος. Ἐπιγραφή· «Κῦρ Νικήτα τοῦ Σεῤῥῶν πολλῶν καὶ διαφόρων ἁγίων διδασκάλων εἰς τὴν τοῦ Ἰὼβ βίβλον». Ἀρχ. «Ὑπόθεσις μὲν ἡμῖν καὶ σκοπὸς τοῦ λόγου» κτλ. Catena Graecorum patrum in beatum Job collectore Niceta Heracleae metrop. Ἐκδ. P. Junii, Londini 1637.

25. Νομοκάνων ἀκέφαλος ἐκ φύλλων χάρτου 261 (μήκ. 0,312, πλ. 0,225), γραφεὶς περὶ τὸ τέλος τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος, καὶ ἔνδον μὲν τῆς πρώτης πινακίδος χάρτου τέμαχος ἔχων σὺν τῇ ἐπιγραφῇ «Μανουὴλ τοῦ Κομνηνοῦ βιβλίον», ἐν δὲ τῇ κάτω ᾤᾳ τῆς προσθίας σελίδος τοῦ 1-ου φύλλου τὸ «Ὁ Ἱεροσολύμων πατριάρχης Χρύσανθος τῷ ἐν Ἀδριανουπόλει Μετοχίῳ τοῦ Παναγίου Τάφου. 1717. μηνὶ ἀπριλλίῳ». συνίσταται δ' ἐκ τῶν κειμένων τῶνδε·

1. Κείμενον ἀκέφαλον, οὗ ἡ ἀρχή· « - - - μνυμι ἐγὼ τὸν Θεὸν παντοκράτορα» κτλ., φ. 1α.

2. Νομικῶν τινων λέξεων ἑρμηνεία· τούτων δὲ τῶν λέξεων ἀνεπιγράφων ἐν τῷ κώδικι εὑρισκομένων, προτέτακται χολιαμβικὸν ἑπτάστιχον ἐπίγραμμα, δηλοῦν ὅτι συγγραφεὺς τῆς ἑρμηνείας ἐστὶ Γεώργιος ὁ Φοβηνός. Ἀρχ. «Παραγκαρεία λέγεται, ὅταν ἀπερχόμενον» κτλ., φ. 2β. Πρβλ. Fabricii-Harless, Bibl. Graeca, τ. XII, σ. 69.

3. «Τοῦ ἁγίου Μαξίμου κατὰ πόσους τρόπους ἡ ἕνωσις λέγεται». Ἀρχ. «Κατ' οὐσίαν ἕνωσις» κτλ., φ. 30α.

4. «Διατάξεις Λέοντος τοῦ εὐσεβεστάτου καὶ εἰρηνικωτάτου βασιλέως Ῥωμαίων περὶ τῶν πολιτικῶν σωματείων, ὅπως ἕκαστον αὐτῶν ὀφείλει πολιτεύεσθαί τε καὶ διαπράττεσθαι, ἐκφωνηθεῖσαι ἐπὶ τῆς ἡγεμονίας Φιλοθέου πρωτοσπαθαρίου καὶ ἐπάρχου ἐν τῷ ἔτει ,ςυκ' [=911-912], ἑπταετοῦς τηνικαῦτα Κω(νσταντίνου) τοῦ πορφυρογεννήτου τυγχάνοντος: Τὸ ἐπαρχιακὸν βιβλίον: Προοίμιον: Τὴν τῶν ὄντων ὁ Θεὸς σύστασιν δημιουργήσας» κτλ., φ. 33α. Ὁ τοῦ Ἐπαρχιακοῦ Βιβλίου τίτλος, ὡς ἐν τούτῳ φέρεται τῷ κώδικι, ἐλλείπει τῷ Γενεβαίῳ ἀντιγράφῳ, ἐξ οὗ ἡ τοῦ Nicole τύποις ἔκδοσις ἐγένετο. Ὅρα Le livre du Préfet ou l'édit de l'empereur Léon le Sage sur les corporations de Constantinople. Texte grec du Genevensis 23 publié pour la première fois par Jules Nicole. Genève 1893, σ. 4 καὶ 13.

5. «Νεαρὰ τοῦ κυροῦ Λέοντος ρι'». Ἀρχ. «Περὶ τοῦ τὴν γυναῖκα ἀπογραφὴν ποιεῖσθαι» κτλ., φ. 36β. Zachariæ, Jus Graeco-Romanum, τ. III, σ. 212.

6. Λεξικὸν ἑλληνολατινικόν. Ἀρχ. «Ἄβετ, ἔχει», φ. 37α.

7. «Μοσχίωνος ὑποθῆκαι».—Εἶτα περὶ τοῦ Ἴστρου ποταμοῦ. Ἀρχ. «Ὅτι ὁ Ἴστρος ποταμὸς λεγόμενος Φεισὼν» κτλ., φ. 41α. Εἶτα περὶ τοῦ Νείλου ποταμοῦ κείμενον ἀτελές, φ. 41β.

8. «Κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον, οὗ ἡ ἀκροστιχίς· Ὕστατος ἦχος ὕστατον πλέκει με λόγος. Ἰωάννου μοναχοῦ πρωτασηκρήτις τοῦ Ζωναρᾶ», φ. 42α.

9. «Λέξεις κατ' ἐκλογὴν τῶν νομικῶν βιβλίων: Ἀρχὴ τοῦ α». Ἀρχ. «Ἀγωγὴ παρὰ τὸ ἄγειν τοὺς ἀγομένους» κτλ., φ. 43α.

10. Ἰωάννου Πεδιασίμου περὶ συγγενείας. Ἀρχ. «Ἡ συγγένεια ἢ φύσει ἐστὶν ἢ θέσει» κτλ., φ. 46β. Τὸ 50-ον, τὸ 51-ον καὶ τὸ 52-ον φύλλον ἀφέθη παντάπασιν ἄγραφα.

11. Νεαρὰ Μανουὴλ τοῦ Κομνηνοῦ μετὰ σχολίων ἐν ταῖς ὤαις, «περιέχουσα πολλῶν ἀμφιβολιῶν λύσεις». Ἀρχ. «Ἔννομον ἐπιστασίαν» κτλ., φ. 53α. Zachariae, Jus Graeco-Romanum, τ. III, σ. 460.

12. Ἑτέρα νεαρὰ τοῦ αὐτοῦ, ἧς ἡ ἀρχή· «Παρὰ πολλῶν

ὀχληθεῖσα ἡ βασιλεία μου» κτλ., φ. 55β.—Εἶτα χρυσόβουλλον τοῦ αὐτοῦ, οὗ ἡ ἀρχή· «Ἀδικίαν ἐμίσησα». Zachariae ἔνθ. ἀνωτ. σ. 455 καὶ 499.

13. «Νεαρὰ Νικηφόρου βασιλέως, ἣν κατὰ τὸ πρῶτον ἔτος τῆς βασιλείας αὐτοῦ, ἤτοι κατὰ τὴν ζ′ ἰνδ. τοῦ ,ςυοβ′ ἔτους ὑπηγόρευσε Συμεὼν πατρίκιος» κτλ. Ἀρχ. «Ὁ τοῦ Θεοῦ πατρὸς λόγος», φ. 56β. Zachariae ἔνθ. ἀνωτ. σ. 292.

14. «Νεαρὰ τοῦ εὐσεβοῦς βασιλέως Βασιλείου τοῦ νέου, τὴν κατὰ τῶν ἐκκλησιῶν καὶ τῶν εὐαγῶν οἴκων νομοθεσίαν Νικηφόρου βασιλέως τέλεον ἀναιροῦσα». Ἀρχ. «Ἡ ἐκ Θεοῦ βασιλεία ἡμῶν», φ. 57β. Zachariae ἔνθ. ἀνωτ. σ. 303.

15. «Ἐκλογὴ καὶ σύνοψις τῶν βασιλικῶν ξ′ βιβλίων σὺν παραπομπαῖς κατὰ στοιχεῖον, τοῦ περὶ πίστεως μόνου τίτλου προτεθέντος πάντων τῶν στοιχείων, διὰ τὸ τίμιον». Ἀρχ. «Περὶ τῆς ὀρθοδόξου πίστεως»· προτέτακται δὲ πίναξ λεπτομερὴς τῶν μερῶν ἐξ ὧν ἡ ἐκλογὴ καὶ σύνοψις συνίσταται, φ. 68α.—Φύλλ. 219α «Τέλος σὺν Θεῷ τῶν βασιλικῶν ξ′ βιβλίων κατὰ στοιχεῖον». Zachariae, Jus Graeco-Romanum, τ. V, σ. 3 κἑ.

16. «Αἱ νεαραὶ τοῦ κυροῦ Ῥωμανοῦ τοῦ βασιλέως». Ἀρχ. «Ἀνθρώποις ἐστὶ ζηλωτὸν καὶ περισπούδαστον», φ. 217β. Zachariae ἔνθ. ἀνωτ., τ. III, σ. 244 κἑ.

17. «Αἱ νεαραὶ τοῦ κυροῦ Κωνσταντίνου τοῦ βασιλέως». Ἀρχ. «Παρὰ πολλῶν ἀνεμάθομεν», φ. 221β [Zachariae ἔνθ. ἀνωτ. σ. 253 κἑ]. Εἶτα νεαραί τινες Ῥωμανοῦ τοῦ Λακαπηνοῦ καὶ μία Λέοντος τοῦ Σοφοῦ.

18. Σισιννίου πατριάρχου Κωνσταντινουπόλεως τόμος, οὗ ἡ ἀρχή· «Καὶ ἰατρὸς ἡδίων ἐκεῖνος», φ. 253β. Ῥάλλη καὶ Ποτλῆ, Σύνταγμα, τ. V, σ. 11.

19. Ἰωάννου Πεδιασίμου περὶ συγγενείας. Ἀρχ. «Ἡ συγγένεια γενικόν ἐστιν ὄνομα», φ. 259α.

26. Τεῦχος χάρτινον, μήκους 0,298, πλ. 0,205, γραφὲν τῇ ὀκτωκαιδεκάτῃ ἑκατονταετηρίδι καὶ συνιστάμενον ἐκ σελίδων 385 (0,238×0,155) καί τινων φύλλων ἀσελιδώτων. Ἐπιγραφή·

«Τὸ παρὸν βιβλίον ἐσύνθεσεν εἰς ἑλληνικὴν γλῶτταν ὁ φιλόχριστος βασιλεὺς ἡμῶν κύριος Ἰωάννης Καντακουζηνός, ὁ ὁποῖος ὕστερον διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος ὠνομάσθη Ἰωάσαφ μοναχός, εἰς τοὺς ͵ατξ΄ χρόνους [=1360] ἀπὸ τὴν ἔνσαρκον οἰκονομίαν· μετεφράσθη δὲ εἰς τὴν ἡμετέραν ἁπλῆν διάλεκτον ὑπὸ Μελετίου τοῦ Συρίγου, διὰ παρακινήσεως τοῦ ἐκλαμπροτάτου καὶ θεοσεβεστάτου αὐθέντου πάσης Μολδοβλαχίας κυρίου Ἰωάννου Βασιλείου βοεβόδα, ἐν ἔτει σωτηρίῳ ͵αχλεῳ δεκεμβρίου αῳ». Ἐν τοῖς ἀσελιδώτοις φύλλοις ὑπάρχει πίναξ ἀναλυτικὸς τοῦ κειμένου· ἔστι δὲ τοῦτο τὸ κατὰ Μωαμεθανῶν ἐκ δ΄ βιβλίων συνιστάμενον πόνημα Ἰωάννου τοῦ Κανταχουζηνοῦ, μεταπεφρασμένον ὅμως ὑπὸ Μελετίου τοῦ Συρίγου εἰς γλῶσσαν ἀφελῆ· ταύτης δὲ τῆς μεταφράσεως ἕτερον ἀντίγραφον ὅρα παρὰ Ἰωάννῃ τῷ Σακκελίωνι, Πατμ. Βιβλιοθ. σ. 167.

27. Τεῦχος ἐκ χάρτου, γραφὲν ἔτει 1647-ῳ (μήκ. 0,31, πλ. 0,215) καὶ συνιστάμενον πρῶτον ἐξ ὀκτὼ φύλλων ἀσελιδώτων, εἶτα ἐκ σελίδων ἠριθμημένων 492 (α΄-υϟβ΄) καὶ τέλος ἐκ τριῶν ἑτέρων φύλλων ἀσελιδώτων· τούτων δὲ τῶν τελευταίων ἡ γραφὴ διάφορός ἐστι τῆς τῶν ἑτέρων φύλλων γραφῆς. Καὶ τῶν μὲν πρώτων ὀκτὼ φύλλων ἡ δευτέρα τοῦ 3-ου φύλλου σελὶς ἐμπεριέχει στίχους εἴκοσι, τὴν ἑξῆς ἀποτελοῦντας ἀκροστιχίδα· «Ἰωακεὶμ ἀρχήμανδρήτῆς»· οὗτος δὲ ὁ Ἰωακεὶμ ἐστι συγγραφεὺς αὐτοῦ τούτου τοῦ τεύχους, ὅπερ ἔγραψεν ἐν τῇ πόλει Δρύστρᾳ, «ἐν μηνὶ σεπτευρίῳ κβα. ͵αχμζ΄», Κύπριος ὢν τὸ γένος καὶ μέλος τῆς Ἁγιοταφιτικῆς Ἀδελφότητος (ὅρα σ. σϟβ΄). Μετὰ μὲν οὖν τοὺς εἰρημένους στίχους ὑπάρχει πρόλογος καὶ πίναξ ἀναλυτικὸς τῶν ἐν αὐτῷ τῷ τεύχει περιεχομένων, ἔνδον δὲ τῆς πρώτης πινακίδος ὁ συγγραφεὺς ἔγραψε «Περὶ τοπῶς ἔγινεν χριστιανὸς ὁ Νεσιμής, μουλλὰς ὄν, καὶ ἐμήρης καὶ πῶς ἐμαρτύρησεν διατὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔνδον εἰς τὸ Χαλέπ: μερικοί, κάποιοι στίχ(οι), ἀποταπολλὰ ὁποῦ βρίσκονται γραμμένα εἰς τὸ βιβλίον τῆς μαρτυρίας αὐτοῦ, τουρκικώτερα». Ἐκ δὲ τοῦ προλόγου μανθάνομεν, ὅτι ἐν τῷδε τῷ τεύχει συνήρμοσεν ὁ συγ-

γραφεὺς «Μερικὰ ἀπανθίσματα ἐκ τῆς Θείας Γραφῆς καὶ τῶν Πατέρων τῆς Ἐκκλησίας, ἱεροκήρυξι συμβάλλοντα καὶ τοῖς πνευματικοῖς». Ἐν δὲ τοῖς τρισὶν ἐσχάτοις μὲν ἀσελιδώτοις δὲ φύλλοις ἐμπεριέχεται πρῶτον μὲν Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἴς τι ῥητὸν Παύλου τοῦ ἀποστόλου, εἶτα δὲ τεμάχη τινὰ ἑτέρων τινῶν λόγων τοῦ αὐτοῦ Χρυσοστόμου· πάντα μέντοι ταῦτα παρείληπται ἐξ ἐντύπου τινὸς ἐκδόσεως τῶν αὐτοῦ συγγραμμάτων.

28. Τεῦχος τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων χάρτου ἠριθμημένων 226 (μήκ. 0,31, πλ. 0,21), ὧν ἐννέα, τὰ ἔσχατα, παντάπασιν ἄγραφα.

1. «Τοῦ μακαρίου Νικηφόρου τοῦ Βλεμμύδου ἐκ τῶν κατ' αὐτόν, ἐν οἷς καὶ τάδε φησί:—Τὰ περὶ τὴν Ἔφεσον ἀπράκτους» κτλ., φ. 1. Niceph. Blemmydae curriculum vitae et carmina ed. A. Heinsenberg. Lipsiae 1896, σ. 63, 4 κέ.

2. Τεμάχη περὶ τοῦ ἁγίου πνεύματος ἐκ συγγραφῶν Γρηγορίου Νύσσης, Θεοδωρήτου, Βασιλείου Καισαρείας, Ἰωάννου Χρυσοστόμου, Σωφρονίου Ἱεροσολύμων, Κυρίλλου Ἀλεξανδρείας, Γρηγορίου Ναζιανζηνοῦ καὶ ἑτέρων, φ. 4-66α.

3. «Πρὸς τὸν βασιλέα κῦριν Ἀλέξιον τὸν Κομνηνὸν ὡς ἐκ τῶν Λατίνων παρὰ τοῦ ἐλλογίμου [=Πέτρου] ἐπισκόπου Μεδιολάνων, περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος». Ἀρχ. «Ἄκουσον καὶ νόησον, ἃ ἐγὼ» κτλ., φ. 66α. Migne τ. 127, σ. 911.

4. «Τοῦ Μεθώνης κυροῦ Νικολάου περὶ τοῦ ἐκπορεύεσθαι τὸ πανάγιον πνεῦμα ἐκ τοῦ πατρὸς μόνου». Ἀρχ. «Βασιλεῦ οὐράνιε», φ. 70β. Τοῦτο δὲ τὸ πονημάτιον ἐξ ἑτέρων τινῶν ἀντιγράφων ἐξέδωκε τύποις ὁ περιβόητος πλαστογράφος Κωνσταντῖνος ὁ Σιμωνίδης, ἐπιγράψας αὐτὸ οὕτω· «Νικολάου τοῦ ἁγιωτάτου ἐπισκόπου Μεθώνης λόγος πρὸς τοὺς Λατίνους περὶ τοῦ ἁγίου πνεύματος, ὅτι ἐκ τοῦ πατρὸς οὐ μὴν καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται, πρῶτον ἤδη ἐκδιδόμενος - - Ἐν Λονδίνῳ τύποις Γιλβέρτου καὶ Ῥιβινγτῶνος. ͵αωνη'».

5. «Τοῦ αὐτοῦ κεφαλαιώδεις ἔλεγχοι τοῦ παρὰ Λατίνοις καινοφανοῦς δόγματος, τοῦ ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς

καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται, ὁμολογουμένου τοῦ ὅτι τὸ ἐκπορεύεσθαι ἰδίωμα τοῦ πνεύματός ἐστι, παραστατικὰ τῆς ὑποστατικῆς εἴτουν προσωπικῆς αὐτοῦ ὑπάρξεώς ἐστιν» [sic]. Ἀρχ. «α'. Εἰ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς» κτλ., φ. 80β. Ἀ. Δημητρακοπούλου, Ἐκκλησιαστικὴ βιβλιοθήκη. Ἐν Λειψίᾳ 1866, τ. I, σ. 360 κἑ.

6. «Γεωργίου καὶ μεγάλου λογοθέτου τοῦ Ἀκροπολίτου λόγος πρῶτος περὶ τῆς ἐκ τοῦ πατρὸς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως». Ἀρχ. «Ἄνδρες Ῥωμαῖοι οἱ τῆς πρεσβυτέρας Ῥώμης», φ. 85α. Ἀ. Δημητρακοπούλου, Ἐκκλησ. βιβλιοθήκη, τ. I, σ. 395 κἑ.

7. Τοῦ αὐτοῦ λόγος δεύτερος περὶ τοῦ αὐτοῦ θέματος. Ἀρχ. «Ἐπειδὴ τὸν πρῶτον λόγον» κτλ., φ. 89β. Τοῦ τύποις ἀνεκδότου τούτου λόγου ἀντίγραφά τινα ὅρα παρὰ τῷ ἀρχιμανδρίτῃ Βλαδιμίρῳ, Систем. описаніе рукописей Московской Синодальной Библіотеки. Москва 1894, τ. I, σ. 317 καὶ 330.

8. «Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, περὶ τοῦ ἁγίου πνεύματος μυσταγωγία, καὶ ὅτι ὥσπερ ὁ υἱὸς ἐκ μόνου τοῦ πατρὸς ἱερολογεῖται, οὕτω καὶ τὸ ἅγιον πνεῦμα ἐκ μόνου τοῦ αὐτοῦ αἰτίου θεολογεῖται ἐκπορεύεσθαι, λέγεται δὲ τοῦ υἱοῦ εἶναι, ὡς ὁμοούσιον καὶ ἀποστελλόμενον δι' αὐτοῦ». Ἀρχ. «[Ἐν] πολλοῖς μὲν εἰσὶν οἱ ἔλεγχοι» κτλ., φ. 97α. Photii C/politani liber de spiritus sancti mystagogia ed. J. Hergenroether. Ratisbonae 1857, σ. 3 κἑ. Migne τ. 102, σ. 280 κἑ.

9. Κανόνες ἐκτεθέντες παρὰ τῆς ἐν Κ/πολει α' καὶ β' συνόδου, τῆς συστάσης ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων. Ἀρχ. «Κανὼν α'. Πρᾶγμα σεμνὸν οὕτω καὶ τίμιον», φ. 107. Σύνταγμα τοῦ θείων καὶ ἱερῶν κανόνων, τ. II, σ. 648 κἑ.

10. «Κανόνες ἐκτεθέντες παρὰ τῆς ἁγίας συνόδου τῆς ἐν τῷ περιωνύμῳ ναῷ τῆς τοῦ Θεοῦ Λόγου Σοφίας συστάσης καὶ τὴν ἑβδόμην καὶ οἰκουμενικὴν σύνοδον βεβαιωσάσης, πᾶσαν δὲ σχισματικὴν καὶ αἱρετικὴν πλάνην ἀπελασάσης». Ἀρχ. «Κανὼν πρῶτος. Ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος» κτλ., φ. 112. Σύνταγμα, τ. II, σ. 705 κἑ. Φωτίου τὸ περὶ τοῦ τάφου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὑπομνημάτιον καὶ ἄλλα τινὰ πονη-

μάτια τοῦ αὐτοῦ ἐκδ. ὑπὸ 'Α. Π. - Κεραμέως. 'Εν Πετρουπόλει 1892, σ. 170 [Правосл. Палест. Сборникъ, томъ XI, вып. 1].

11. 'Επιστολαὶ κανονικαὶ Διονυσίου 'Αλεξανδρείας, Πέτρου Αλεξανδρείας, Γρηγορίου Νεοκαισαρείας, Βασιλείου Καισαρείας καὶ Γρηγορίου Νύσσης, φ. 113-151.

12. 'Αποκρίσεις κανονικαὶ Τιμοθέου 'Αλεξανδρείας πρὸς τὰς προσενεχθείσας αὐτῷ ἐρωτήσεις κτλ., φ. 152. Σύνταγμα, τ. IV, σ. 331 κέ.

13. Θεοφίλου 'Αλεξανδρείας προσφώνησις, Κυρίλλου 'Αλεξανδρείας κανόνες πρὸς Δόμνον, Γενναδίου Κωνσταντινουπόλεως ἐγκύκλιος ἐπιστολὴ πρὸς τοὺς μητροπολίτας καὶ τὸν πάπαν 'Ρώμης, καὶ πρὸς Μαρτύριον ἐπίσκοπον ἀπὸ Κωνσταντινουπόλεως ἑτέρα ἐπιστολὴ συνοδική, φ. 154^{β}-162.

14. (Γράψιμον ἕτερον). Χρυσάνθου Νοταρᾶ ἀρχιμανδρίτου, Κιταΐα δουλεύουσα, φ. 163^{α}-219^{β}, ἔνθα τὸ «1726 Βυζαντιαῖος Δημήτριος ἔγραψεν». É. Legrand, Bibliothèque grecque vulgaire, τ. III, σ. 337-441.

15. «Ἔκθεσις σύντομος καὶ κεφαλαιώδης τῶν ἱερῶν ὅρων τε καὶ δογμάτων τῆς 'Ανατολικῆς τοῦ Χριστοῦ 'Εκκλησίας, ἤτοι ἡ ὀρθόδοξος ὁμολογία τῆς εὐσεβοῦς καὶ ἀμωμήτου πίστεως τῶν χριστιανῶν, καθὼς ὁμολογεῖ, καὶ φρονεῖ, καὶ δοξάζει αὐτὴν ἡ 'Ανατολικὴ τοῦ Χριστοῦ 'Εκκλησία· ἥν τινα ὀφείλουσι πάντες οἱ ἁπανταχοῦ χριστιανοί, ὅσοι τῆς 'Ανατολικῆς 'Εκκλησίας εἰσὶ γνήσια τέκνα, ἀποδέχεσθαι καὶ πιστεύειν καὶ ὁμολογεῖν ἀπαραλλάκτως, καθὼς ἐνταῦθα ἐκτίθεται». 'Αρχ. «Προοίμιον. Τοῖς διαπλέουσι τοῦ τῆδε βίου τὸ πολυτάραχον» κτλ., φ. 212^{α}-217. 'Η τοιαύτη ὀρθόδοξος ὁμολογία συνετάχθη συνοδικῶς ἐν Κωνσταντινουπόλει μηνὶ φεβρουαρίῳ ἔτους 1727-ου· συνυπεγράψαντο δὲ ταύτην τρεῖς πατριάρχαι, ὁ Κωνσταντινουπόλεως Παΐσιος, ὁ 'Αντιοχείας Σίλβεστρος καὶ ὁ 'Ιεροσολύμων Χρύσανθος, ἔτι δὲ δυοκαίδεκα μητροπολῖται· ἐξέδωκε δὲ ταύτην τύποις, ὡς δῆθεν 'Ιερεμίου Κωνσταντινουπόλεως ἐγκύκλιον ἐπιστολήν, Μανουὴλ ὁ Γεδεών,

ἐπιγράψας αὐτὴν ὧδε· «Ἀνέκδοτος ἐγκύκλιος τοῦ Οἰκουμενικοῦ Πατριάρχου Ἱερεμίου (1727) ἐξ ἀνεκδότου κώδηκος [sic] τοῦ Κριτίου νῦν πρῶτον ἐκδιδόντος Μανουὴλ Ἰ. Γεδεών. Ἐν Κωνσταντινουπόλει 1872», σελ. 23-30. Ὅτι δὲ τῆς ἐγκυκλίου ταύτης ἐπιστολῆς ἡ σύνθεσις ἐγένετο ἐπὶ τοῦ πατριάρχου Κωνσταντινουπόλεως Παϊσίου, καλῶς εἴκασεν ἐκ πολλοῦ Μηνᾶς ὁ Χαμουδόπουλος [Ἐκκλησ. Ἀλήθεια, 1882, σ. 491-492]· βεβαιοῖ γὰρ νῦν τὴν αὐτοῦ εἰκασίαν αὐτὸ τοῦτο τὸ τεῦχος, ὅπερ ἤδη περιγράφω· Μανουὴλ ὅμως ὁ Γεδεών, εἰ καὶ τὸ αὐτοῦ καλῶς ἀνεγνώρισεν ἁμάρτημα, οὐκ οἶδ' ὅπως ἐπιμένει τὴν ὁμολογίαν ἐκείνην ἐπιγράφειν ἔτι καὶ νῦν Ἱερεμίᾳ τῷ πατριάρχῃ, πεισμόνως οὕτω περιπτύσσων ἡμαρτημένον αὐτοῦ πόνημα. Ὅρα Μ. Γεδεών, Ἀναγραφὴ συγγραφῶν καὶ ἐκδόσεων εἰκοσιπενταετίας. Ἐν Κ/πόλει 1896, σ. 5, ἀριθ. 1-2.

29. Τεῦχος ἐκ φύλλων χάρτου 370 (μήκ. 0,313, πλ. 0,21), ὧν τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 31 (0,222×0,145)· ἐγράφη δὲ περὶ τὰς πρώτας δεκάδας τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος.

Κυριακοδρόμιον Μαξίμου τοῦ Πελοποννησίου. — Φύλλ. 1-24 πρόλογος. — Φύλλ. 25-26 Πίναξ τῶν ὁμιλιῶν, ἐξ ὧν τοῦτο συνίσταται τὸ Κυριακοδρόμιον, ἔχων εἰς τὸ πέρας αὐτοῦ τὸ σημείωμα τόδε· « + Τὸ παρὸν βιβλήον ἐπριάμην παρὰ τοῦ μεγάλου ῥήτορος Θεσσαλονίκης, τοῦ ἡμετέρου υἱοῦ κατὰ πνεῦμα, κῦρ Ἀσάνη. ͵αχναῳ [=1651]. ἰαννουαρ., ἰνδικτ. δ. + Ὁ Σερρῶν Δανιήλ» [1]. — Φύλλ. 27-344 Διδαχαὶ Μαξίμου. — Φύλλ. 347-358 Τοῦ αὐτοῦ «λόγος στηλιτευτικὸς κατὰ Διονυσίου καὶ τῶν συναποστατησάντων αὐτῷ», ἔχων εἰς τὸ πέρας αὐτοῦ τὸ σημείωμα τόδε· «͵αχια' [=1611]. σεπτεβρίου κδῃ γέγραπται»· περὶ δὲ τοῦ λόγου τούτου κατ' ἔκτασιν ὅρα Ἀ. Π.-Κεραμέως, Ἐκθ. παλαιογρ. καὶ φιλολογ. ἐρευνῶν ἐν Θρᾴκῃ καὶ Μακεδονίᾳ. Ἐν Κ/πόλει 1886, σ. 44-47. — Φύλλ. 358β-370β «Τοῦ αὐτοῦ περὶ

[1] Περὶ τούτου τοῦ Δανιὴλ ὅρα τὸ βιβλίον Π. Παπαγεωργίου: Αἱ Σέρραι μετὰ τῶν προαστείων. Ἐν Λειψίᾳ 1894, σ. 38.

τῶν πολλὰ λυπουμένων ἐν τοῖς τεθνεῶσιν, ὅτι οὐ χρὴ λυπεῖσθαι, ἀλλὰ μᾶλλον χαίρειν». Ἀρχ. «Ὁ μακάριος Παῦλος» κτλ. Σημειωτέον, ὅτι ἐπὶ κεφαλῆς τῆς πρώτης διδαχῆς ὑπάρχει τὸ σημείωμα τοῦτο· «Κάπιος ἀπαίδευτος ἀπὸ τὸν φθόνον του ἐχάλασε καὶ ἔσβυσε τὸ ὄνομα τοῦ ποιητοῦ τοῦ παρόντος βιβλίου· καὶ ἐγὼ διὰ πήσματου [=πεῖσμά του] τὸ ἔγραψα πῶς εἶναι τοῦ Μαξίμου».

30. Τεῦχος ἐκ φύλλων ἀσελιδώτων 22 καὶ φύλλων πάλιν ἠριθμημένων χάρτου στιλπνοῦ 468 (μήκ. 0,312, πλ. 0,215), ὧν τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ ἐκ γραμμῶν 30-33 (0,235×0,145)· ἐγράφη δὲ ἔτει 1681-ῳ καὶ ἐν τῇ ἐπάνω ᾤᾳ τοῦ 1-ου φύλλου τοῦ πίνακος ἔχει τὸ σημείωμα τόδε· «Ὁ Ἱεροσολύμων Χρύσανθος τῷ Παναγίῳ Τάφῳ· ἐχέτω δὲ τὸ ἀνάθεμα ὁ τοῦτο ποτὲ ἐκ τῆς δεσποτείας αὐτοῦ ἀφαιρήσων». Τὰ πρώτιστα 22 φύλλα τοῦδε τοῦ τεύχους ὁ καλλιγράφος ἐπλήρωσε πίνακί τινι λεπτομερεστάτῳ τοῦ νομοκανόνος Ἰακώβου ἀρχιμανδρίτου Ἰωαννίνων, ὃν οὗτος ὠνόμασε «Βακτηρίαν τῶν Ἀρχιερέων»· τοῦτον δὲ τὸν πίνακα σὺν τοῖς προλόγοις τοῦ συγγραφέως ἐξ ἀθηναϊκοῦ τινος ἀντιγράφου τύποις ἐξέδωκεν Ἀντώνιος ὁ Μομφερρᾶτος [Δελτίον τῆς ἱστορικῆς καὶ ἐθνολογικῆς ἑταιρίας τῆς Ἑλλάδος, τ. III, σ. 129-218]. Τὸ μέντοι ἡμέτερον ἀντίγραφόν ἐστι σφόδρα παλαίτερον τοῦ ἀθηναϊκοῦ καὶ μετ' ἐκεῖνον ἔχει τὸν πίνακα γράμμα τοῦ συγγραφέως πρὸς τὸν Κωνσταντινουπόλεως πατριάρχην Παρθένιον τὸν β' ἀφιερωτικόν, μετὰ δὲ τοῦτο «λόγον προοιμιακὸν τῆς παρούσης βίβλου πρὸς πάντας τοὺς ἀρχιερεῖς πασῶν τῶν πόλεων», καὶ μετὰ τοῦτον «πρόλογον τῆς παρούσης βίβλου τῆς συντασσομένης ὑπ' ἐμοῦ τοῦ ἐλαχίστου Ἰακώβου» κτλ. Μετὰ δὲ τὸ πέρας τοῦ μετὰ τὸν πρόλογον εἰσαγωγικοῦ λόγου γέγραπται τοῦτο (φ. $15^{α}$)· «Ἐγράφη μὲν καὶ συντέτακται διὰ χειρὸς ἐμοῦ ἐμοῦ [sic] ἐλαχίστου, Ἰακώβου ἱερομονάχου καὶ ἀρχιμανδρίτου, καὶ ἐπιτρόπου Ἰωαννίνων, ἐν τῷ ναῷ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου τοῦ μεγάλου, ἐν ἔτει ἀπὸ Χριστοῦ, ͵αχμε' ἐν μηνὴ [sic] σεπτεβρίῳ, ἰνδικτιῶνος ιδ'». Ὅμως δὲ τόδε τὸ τεῦχος οὐκ ἔστιν αὐτόγραφον αὐτοῦ τοῦ Ἰακώβου, ἀλλ' ἑτέρου τινός· μετὰ γὰρ τὸ κείμενον ὅλον ἕτερον ὑπάρ-

χει σημείωμα κοκκίνοις γράμμασιν, ἔχον ὧδε (φ. 468β)· «Τῷ [sic] παρὸν βιβλίον τὸ λεγόμενον Βακτηρία τῶν Ἀρχιερέων· ἐγράφη δι' ἐμοῦ τοῦ ταπεινοῦ καὶ ἐλαχίστου καὶ ἁμαρτωλοῦ, Παρθενίου ἱερομονάχου, τοῦ Βύζαντος, διὰ συνδρομῆς καὶ ἐξόδου τοῦ ὁσιωτάτου ἐν ἱερομονάχοις καὶ πρωτοσυγγέλου [sic] τῆς ἁγιωτάτης μητροπόλεως Νικομηδείας κυρίου παπᾶ κῦρ Ἀνθίμου, ἐνέτει σωτηρίῳ. ͵αχπαῳ, ἰνδικτ. γης ἐν μηνὶ ἀπριλλίῳ».

31. Τεῦχος τοῦ 1687-ου ἔτους, μήκους 0,313 καὶ πλ. 0,208, συνιστάμενον πρῶτον ἐκ φύλλων ἀσελιδώτων 49 καὶ εἶτα ἐκ σελίδων ἠριθμημένων 862· ἔνιαι δὲ τῶν σελίδων εἰσὶ διπλαῖ (451-459)· τῶν δὲ φύλλων τῶν ἀσελιδώτων τὰ μὲν πρῶτα τέσσαρα περιέχει πίνακα τῶν ἐν αὐτῷ τῷ τεύχει καταχεχωρισμένων συγγραφῶν, τὰ δὲ λοιπὰ πάντα κατέλιπεν ὁ τοῦ τεύχους καλλιγράφος παντάπασιν ἄγραφα.

1. «Γεωργίου Κορεσσίου, θεολόγου τῆς Μεγάλης Ἐκκλησίας καὶ ἰατροῦ, περὶ τῆς ἀρχῆς τοῦ πάπα· κατὰ τῶν ἀντιρρητικῶν τοῦ Βιλλαρμίνου». Ἀρχ. «Εἰσβάλλων ὁ Βιλαρμῖνος» κτλ., σελ. 1.

2. Τοῦ αὐτοῦ «κατὰ Καρυοφύλλου», σελ. 47.

3. Τοῦ αὐτοῦ «περὶ τῆς τελειότητος τοῦ μυστηρίου». Ἀρχ. «Ἐνίστανται οἱ Λατῖνοι», σελ. 56.

4. «Ὀλίγαι ἐκλογαὶ συλλεγεῖσαι ὑπὸ τοῦ μακαρίου Παύλου εἰς τὸν μακάριον βίον διὰ πολλῶν διδασκάλων, οὓς Κορέσιος ἀνέγνω». Ἀρχ. «Ἡ μακαρία ζωὴ» κτλ., σελ. 65-100· εἶτα φύλλα δύο ἄγραφα.

5. «Τοῦ αὐτοῦ Γεωργίου Κορεσσίου, ἄκρου θεολόγου καὶ ἰατροῦ, εἰς τὴν Γένεσιν», σελ. 101.

6. «Τοῦ αὐτοῦ θεολόγου εἰς τὴν Ἔξοδον», σελ. 139.

7. «Τοῦ αὐτοῦ θεολόγου εἰς τὸ Λευιτικόν», σελ. 161.

8. «Τοῦ αὐτοῦ θεολόγου εἰς τοὺς Ἀριθμούς», σελ. 167.

9. «Τοῦ αὐτοῦ θεολόγου εἰς τὸ Δευτερονόμιον», σελ. 178.

10. Τοῦ αὐτοῦ εἰς τὸν Ἰώβ, σελ. 181-320. Εἶτα φύλλα δύο ἄγραφα.

11. Τοῦ αὐτοῦ «ἐξήγησις τῶν ψαλμῶν τοῦ Δαβίδ», σελ. 321-386. Εἶτα φύλλα δύο ἄγραφα.

12. «Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων», σελ. 387-501, ἔνθα τὸ σημείωμα τόδε· «Ἀλλὰ πέρας λαβέτω ἡ ἐπιτομὴ τῶν Ἀσμάτην ἐμοὶ Γεωργίῳ Κορεσσίῳ· θεολόγῳ τῆς Μεγάλης Ἐκκλησίας, καὶ ἀκέστορι. Ἐκ προτροπῆς τε καὶ δαπάνης, τοῦ σοφωτάτου. καὶ λογιωτάτοῦ ἁγίου ἀρχιδιακόνου κυρίου κυρίου Χρυσάνθου: Ἐγράφη καὶ τὸ παρὸν: Κατὰ τὸ ,αχπζον: σεπτεμβρίῳ 28». Εἶτα φύλλον ἓν ἄγραφον.

13. Γεωργίου Κορεσσίου «εἰς τὴν τοῦ Ἰωάννου ἀποκάλυψιν». σελ. 503.

14. Τοῦ αὐτοῦ «εἰς τὸν Δανιὴλ τὸν προφήτην», σελ. 548.

15. Τοῦ αὐτοῦ «εἰς τοὺς θρήνους τοῦ Ἱερεμίου», σελ. 588.

16. Τοῦ αὐτοῦ «εἰς τὸν προφήτην Ἱερεμίαν», σελ. 591.

17. Τοῦ αὐτοῦ «εἰς τὸν προφήτην Ἡσαΐαν», σελ. 622.

18. Τοῦ αὐτοῦ «εἰς τὸν Ἰεζεκιήλ», σελ. 652.

19. Τοῦ αὐτοῦ εἰς τὸν Ὠσηέ (σελ. 674), εἰς τὸν Ἰωήλ (σ. 688), εἰς τὸν Ἀμώς (σ. 690), εἰς τὸν Ἀβδιού (σ. 695), εἰς τὸν Ἰωνᾶν (σ. 696), εἰς τὸν Μιχαίαν (σ. 697), εἰς τὸν Ἀββακούμ (σ. 706), εἰς τὸν Σοφονίαν (σ. 709), εἰς τὸν Ἀγγαῖον (σ. 711), εἰς τὸν Ζαχαρίαν (σ. 713) καὶ εἰς τὸν Μαλαχίαν (σ. 721).

20. Τοῦ αὐτοῦ διάφοροι θεολογικαὶ ζητήσεις, σ. 725-862. Εἶτα τρισκαίδεκα φύλλα ἄγραφα, ὧν τὸ 10-ον μόνον ἐμπεριέχει μέρος ὁμιλίας ἀναγνωσθείσης ἐν τῷ Μετοχίῳ τοῦ Παναγίου Τάφου, τῷ ἐν Κωνσταντινουπόλει, μηνὶ σεπτεμβρίῳ ἔτους 1685-ου, τῇ Κυριακῇ πρὸ τῆς Ὑψώσεως τοῦ Σταυροῦ, πιθανῶς ὑπὸ τοῦ τότε διακόνου Χρυσάνθου Νοταρᾶ.

32. Τεῦχος τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων χάρτου 296, μήκους 0,317, πλ. 0,215, καὶ τῶν αὐτοῦ πινακίδων ἔνδον ἔχον φύλλα τέσσαρα χάρτινα ἑτέρου τινὸς τῆς αὐτῆς ἑκατονταετηρίδος χειρογράφου βιβλίου, ὡς δὲ φαίνεται, Παρακλητικῆς.—Παύλου τοῦ Εὐεργετηνοῦ συναγωγὴ τῶν θεοφθόγγων ῥημάτων καὶ διδασκαλιῶν τῶν θεοφόρων πατέρων, εἰς τέσσαρα διῃρημένη βιβλία· τούτων δ' ἑνὸς ἑκάστου προτέτακται πίναξ

κεφαλαίων, ἐξ ὧν ἕκαστον βιβλίον σύγκειται· πλὴν ἀλλὰ τὸ τέταρτον βιβλίον ἐλλείπει τῷ κώδικι, τοῦ πίνακος μόνου τῶν αὐτοῦ κεφαλαίων ἐν αὐτῷ περισωθέντος (φ. 295)· μετὰ μέντοι τὸν πίνακα τοῦτον ὁ δέτης ἐνέταξεν ἐν τῷ κώδικι φύλλον ἓν τῆς πεντεκαιδεκάτης ὡσαύτως ἑκατονταετηρίδος, ὅπερ ἐμπεριέχει α') Ἰωάννου τοῦ Δαμασκηνοῦ τὸ «περὶ τῶν ἐν τῇ ἁγίᾳ προθέσει τελουμένων» καὶ β') «Μάρκου τοῦ Ἐφέσου πρός τινα Ἰωακεὶμ Σιναΐτην» ἐπιστολήν, ἧς ἡ ἀρχή· «Εὔχομαι τῷ Θεῷ ὅπως ὑγιαίνεις»· ἀλλὰ καὶ πρὸ τοῦ πίνακος τοῦ πρώτου βιβλίου ἐνέταξεν ὁ δέτης τούτου τοῦ κώδικος ἕτερον φύλλον, οὗτινος ἡ μὲν προσθία σελὶς ἐμπεριέχει μέθοδον τοῦ εὑρίσκειν τὸ νομικὸν πάσχα, ἡ δ' ὀπισθία Μανουὴλ Κορέση τινὸς αὐτόγραφον ὑπόμνημα (1686) περὶ τοῦ ὅτι τόνδε τὸν κώδικα δῶρον αὐτὸς ἀφιερώσας ἔδωκε τοῖς Ἁγίοις Τόποις.

33. Τεῦχος τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ τετραδίων ἠριθμημένων κε', τουτέστι φύλλων χάρτου 200 (0,258 × 0,21), ὧν τὸ κείμενόν ἐστιν ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον.—Ματθαίου Βλαστάρεως σύνταγμα κατὰ στοιχεῖον τῶν ἐμπεριειλημμένων ἁπασῶν ὑποθέσεων ἐν τοῖς ἱεροῖς καὶ θείοις κανόσι.

34. Τεῦχος τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος ἐκ χάρτου, μήκους 0,298, πλ. 0,204, περιέχον ἐν ἑαυτῷ μετὰ τοῦ κειμένου καὶ σχήματα γεωμετρικὰ καὶ πίνακας εἰδικούς.—«1699 μαρτίου 27 καθ' ἡμᾶς. Geometria Orastica Ad modum Reverendi Patris Magistri Evangelistae Noni Ordinis Eremitarum S. Augustini». Ἐν τῇ κάτω ᾤᾳ τῆς πρώτης σελίδος· «Ex Lib: Ch: Hi: Archi:» = Ex libris Chryssanthi Notarae Hierosolymitani archimandritae.

35. Τεῦχος ἐκ χάρτου τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος, μήκους 0,30, πλ. 0,215, συνιστάμενον ἐκ σελίδων ἠριθμημένων 734 καὶ φύλλων ὅλως ἀγράφων 36. Ἐν τῇ ἄνω ᾤᾳ τῆς 1-ης σελίδος γέγραπται τοῦτο· «Εἰς χρῆσιν Δοσιθέου Ἱεροσολύμων πατριάρχου 1672».

1. Ἀδήλου περὶ τῶν «ἃ δεῖ τὸν ἀρχιερέα ἐξ ἀνάγκης ἐπίστασθαι καὶ τοὺς ἄλλους διδάσκειν». Ἀρχ. «Τὸν ἀρχιερέα μέσον ἑστηκότα Θεοῦ καὶ ἀνθρώπων», σελ. 1.

2. «Ἐκ τῶν πράξεων τῆς οἰκουμενικῆς ὀγδόης συνόδου· ἔχει δὲ οὕτως. Βασιλεύοντες οἱ εὐσεβέστατοι βασιλεῖς Βασίλειος, Λέων καὶ Ἀλέξανδρος» κτλ., σελ. 9.

3, «Τοῦ ὀρθοδόξου Θεοφάνους διάλεξις πρὸς τὸν ἀπὸ Βαρλααμιτῶν ἐπιστρέψαντα Θεότιμον. Θεοφάνης ἢ περὶ θεότητος καὶ τοῦ κατ' αὐτὴν ἀμεθέκτου τε καὶ μεθεκτοῦ». Ἀρχ. «Ἐπεσκέψω κατὰ σεαυτὸν γενόμενος» κτλ., σελ. 19. Migne τ. 150, σ. 909.

4. «Νικηφόρου μοναχοῦ τοῦ Γρηγορᾶ διήγησις περὶ τῆς διαλέξεως, ἣν ἐποιήσατο πρὸς τὸν Παλαμᾶν ἐνώπιον τοῦ βασιλέως κυρίου Ἰωάννου τοῦ Παλαιολόγου· εἰσάγεται δὲ ἡ διήγησις ὡς ἐξ ἑτέρου προσώπου». Ἀρχ. «Θεότιμος. Ἀλλ' ὦ φίλε Ἀγαθόνικε, σύ μοι πάντως» κτλ., σελ. 54. Nicephori Gregorae hist. byzantinae libri postremi ab Im. Bekkero nunc primum editi. Bonnae 1854, σ. 266 κἑ.

5. «Φακρασῆ τοῦ πρωτοστράτορος ἐπίτομος κατὰ τὸ δυνατὸν διήγησις, παρόντος καὶ αὐτηκόου γεγονότος τῆς ἐπὶ τοῦ παλατίου ἐνώπιον τοῦ βασιλέως γενομένης διαλέξεως τοῦ Θεσσαλονίκης κῦρ Γρηγορίου καὶ Γρηγορᾶ φιλοσόφου». Ἀρχ. «Ὁρισθεὶς παρὰ τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἤρξατο ὁ Θεσσαλονίκης λέγειν» κτλ., σελ. 99. Ἕτερά τινα τῆς αὐτῆς διαλέξεως ἀντίγραφα ὅρα παρὰ τῷ ἀρχιμ. Βλαδιμίρῳ, Систем. описаніе рукоп. Москов. Синод. Библіотеки, τ. I, σ. 310, 333, 347.

6. «Κωνσταντίου ἱερομονάχου Ἁγιορείτου περὶ τῆς τοῦ Γρηγορᾶ ψευδογραφίας ὁμοῦ καὶ δυσσεβείας λόγος α'», οὗ ἡ ἀρχή· «Μεταλαχεῖν ἀθλίως τὸν Γρηγορᾶν τῶν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου κακοδόξων δοξῶν» κτλ., σελ. 111-134. Σελίδες ἄγραφοι: 135-140. Ἕτερα ἀντίγραφα παρὰ τῷ Βλαδιμίρῳ, Систем. описаніе κτλ., σ. 310 καὶ 347.

7. «Τοῦ σοφωτάτου καὶ ἁγιωτάτου κῦρ Γενναδίου τῷ βασιλεῖ Κωνσταντίνῳ ἐπὶ τῇ κοιμήσει τῆς ἀοιδίμου δεσποίνης τῆς αὐτοῦ

μητρὸς παραμυθητικός». Ἀρχ. «Ἡ μακαρία καὶ ἀοίδιμος μήτηρ τοῦ κράτους σου», σελ. 141. Fabrici-Harles, Bibl. Graeca, τ. XI, σ. 381, ἀριθ. 51.

8. Γενναδίου Σχολαρίου. «Τοῦτο ἐγράφη τῷ πνευματικῷ κῦρ Σαββατίῳ τῷ ἀπὸ τοῦ Σινᾶ ἐλθόντι εἰς ἡμᾶς. Περὶ τῶν τῶν ψυχῶν μετὰ τὴν ἐκ τῶν σωμάτων ἀνάλυσιν διαθέσεων ἐπιβεβαιωτικὸν συγγράμματος, ὅπερ ἐκόμισεν αὐτὸς ὁ Σαββάτιος, τοῦ μακαρίου Θεσσαλονίκης κὺρ Συμεών». Ἀρχ. «Ὁσιώτατε πάτερ Σαββάτιε, ἐπήλθομεν ἀκριβῶς τὴν περὶ τῶν ἀνθρωπίνων ψυχῶν τοῦ μακαρίτου Συμεὼν ἀρίστην διάκρισιν» κτλ., σελ. 149. Fabricii-Harles XI, σ. 381, ἀριθ. 47.

9. «Γεννάδιος Ἰωάννῃ ἰαν. ιθ' ἐν τῇ μονῇ τοῦ Προδρόμου, ἐν τῷ ὄρει τοῦ Μενοικέως». Ἀρχ. «Ἥδιστα μέν σοι ἀποκρινόμεθα», σελ. 166. Fabricii-Harles, XI, σ. 381, ἀριθ. 48.

10. Γενναδίου Σχολαρίου. «Τῷ ἐντιμοτάτῳ κὺρ Ἰωάννῃ τῷ δικαίῳ (κῶδ. δικαίως) τοῦ Θεσσαλονίκης ὁ Γεννάδιος χαίρειν. Περὶ καθαρτηρίου». Ἀρχ. «Αὐτοσχεδιάζω σοι, λογιώτατε καὶ ἄριστε φίλων, περὶ τοῦ παρὰ Λατίνοις πουργατορίου, εἴτουν καθαρτηρίου» κτλ., σελ. 177.

11. «Γενναδίου μοναχοῦ τοῦ Σχολαρίου περὶ τοῦ καιροῦ καὶ τρόπου τῆς ὑπάρξεως τῶν νοερῶν ψυχῶν, τουτέστι τῶν ἀνθρωπίνων, φίλῳ τινὶ ζητήσαντι ἐκδεδομένου· ἐγράφη (κῶδ. ἐγράφει) ἐν τῷ ὄρει τοῦ Μενοικέως». Ἀρχ. «Ἐπειδὴ πυνθάνῃ, τιμιώτατε» κτλ., σελ. 186. Fabricii-Harles, XI, σ. 381, ἀριθ. 46.

12. «Γενναδίου περὶ τῆς σιμωνιακῆς αἱρέσεως». Ἀρχ. «Τὰς ἐκ τῶν ἀθέων τούτων βαρβάρων ἐπελθούσας ἡμῖν συμφορὰς» κτλ. Προτέτακται γράμμα, οὗ ἡ ἀρχή· «Λόγον ἀρτίως μοι περὶ τῆς σιμωνιακῆς συντεθειμένον αἱρέσεως ἀναπέμπω σοι, κάλλιστε βασιλεῦ», σελ. 202 [ὅρα Migne τ. 160, σ. 731]. Ἐν τῇ ᾤᾳ τῆς 203-ης σελίδος γέγραπται τὸ σημείωμα τόδε· «Ὁ παρὼν λόγος, εἰ καὶ τετύπωται παρὰ Δοσιθέῳ ἐν τῷ Τόμῳ τῆς Ἀγάπης, ἀλλ' οὖν ἐλλείπει ἐν τῷ μεταξὺ πολλά, ἔτι δὲ καὶ ἡ κατ' ἀρχὰς τούτου ἐπιστολὴ πρὸς τὸν βασιλέα».

13. «Γενναδίου μοναχοῦ ἐπὶ τῇ μνήμῃ τῆς ἀποτομῆς τοῦ τιμίου προφήτου καὶ προδρόμου καὶ βαπτιστοῦ». Ἀρχ. «Ὁ μὲν μακάριος Ἰωάννης» κτλ., σελ. 215. Fabricii-Harles, XI, σ. 373, ἀριθ. 7.

14. «Τοῦ αὐτοῦ περὶ τοῦ ἑνὸς ἐν τριάδι Θεοῦ ἡμῶν καὶ πάντων τῶν ὄντων δημιουργοῦ· καὶ κατὰ ἀθέων, ἤτοι αὐτοματιστῶν, καὶ κατὰ πολυθέων». Ἀρχ. «Οἴεσθαι μὲν μὴ εἶναι θεὸν» κτλ., σελ. 229. Migne τ. 160, σελ. 568.

15. «Γενναδίου μοναχοῦ καὶ πατριάρχου τῶν τοῦ Χριστοῦ πενήτων περὶ τῆς μόνης ὁδοῦ πρὸς τὴν σωτηρίαν τῶν ἀνθρώπων· ἐξεδόθη δὲ τῷ σουλτάνῳ αἰτήσαντι μετὰ τὰς ἐνώπιον αὐτοῦ διαλέξεις ἐν τῷ Πατριαρχείῳ τότε γεγενημένας· καὶ μετὰ τοῦτο ἄλλο συντομώτερον ἐξεδόθη· ἑρμηνεύθησαν δὲ ἀμφότερα ἀραβικῶς καὶ οὕτως ἐδόθησαν». Ἀρχ. «Ἡ ὁδὸς τῆς τῶν ἀνθρώπων σωτηρίας», σελ. 247. Τὸ κείμενον τοῦτο τύποις ἐξ αὐτοῦ τούτου τοῦ κώδικος ἐξέδωκε Χρῆστος ὁ Παπαϊωάννου· ὅρα Ἐκκλησ. Ἀληθείας τ. XVI, 1896, σελ. 194-195, 203-206, 210-212, 219-222 καὶ 227-229.

16. «Ἐπιτάφιος τῷ μακαρίῳ Θεοδώρῳ τῷ Σοφιανῷ, ἐν τῇ ἱερᾷ μονῇ τοῦ Βατοπεδίου ταφέντι, ὃν εἶπεν ἐξ ὑπογυίου ὁ θεῖος αὐτοῦ Γεννάδιος μοναχὸς ἐπὶ τῷ τάφῳ σεπτ.ῳ χηῳ ,ςϠξε' ἔτους». Ἀρχ. «Ἀλλὰ ζῶντος μὲν ἔτι» κτλ., σελ. 267. Fabricii-Harles, XI, σ. 382, ἀριθ. 54.

17. «Τοῦ αὐτοῦ Γενναδίου εἰς τὴν κατὰ σάρκα γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Οἱ λαμπρότατοι τῆς ἐκκλησίας φωστῆρες», σελ. 275. Fabricii-Harles, XI, σ. 373, ἀριθ. 8.

18. «Ἐκ τῶν ὁμιλιῶν ἃς ὡμιλοῦμεν ἐν τῷ δυστυχεῖ παλατίῳ κατὰ Παρασκευὴν ἐν τῇ Μεγάλῃ Τεσσαρακοστῇ, εὑρημένων μετὰ τὴν ἅλωσιν· ἐγράφοντο δὲ μετὰ τὸ ἀγράφως ὁμιληθῆναι παρακλήσει φίλων· ὡμιλήθη δὲ αὕτη ἐν τῇ Παρασκευῇ τοῦ Λαζάρου. Ὁμιλία περὶ τοῦ μυστηριώδους σώματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Ἐπειδὴ τῇ διὰ τῶν ἡμερῶν τούτων ἐγκρατείᾳ», σελ. 289. Migne τ. 160, σ. 352.

*

19. «Γενναδίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, τοῦ Σχολαρίου, τῷ τιμιωτάτῳ καὶ ὁσιωτάτῳ ἐν μοναχοῖς γενναίῳ Ἰωσὴφ τῷ ἐν Θεσσαλονίκῃ Γεννάδιος μοναχός· περὶ προορισμοῦ». Ἀρχ. «Κλινοπετὴς ἐδεξάμην σου» κτλ., σελ. 303. Migne τ. 160, σ. 540.

20. «Τῷ αὐτῷ τιμιωτάτῳ ἐξάρχῳ καὶ ὁσιωτάτῳ πατρὶ Γεννάδιος μοναχὸς ὁ Σχολάριος, περὶ τοῦ θείου προορισμοῦ γος». Ἀρχ. «Πολλὴν οἶδά σοι χάριν» κτλ., σελ. 317. Fabricii-Harles, XI, σ. 379, ἀριθ. 29.

21. «Περὶ τοῦ θείου προορισμοῦ δος τῷ μεγάλῳ οἰκονόμῳ κυρίῳ Θεοδώρῳ τῷ Ἀγαλλιανῷ». Ἀρχ. «Σὺ μὲν καλῶς ποιῶν» κτλ., σελ. 329. Fabricii-Harles, XI, σ. 379, ἀριθ. 30.

22. «Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου τοῦ περὶ θείας προνοίας καὶ προορισμοῦ, οὗ ἡ ἀρχή· Τὴν ἐξ ἀϊδίου περὶ τῶν ὄντων». Ἀρχ. «Ὁ παρὼν οὐχ εὑρέθη», σελ. 341. Ἕτερον τεμάχιον, οὗ ἡ ἀρχή· «Τῆς μὲν ψυχῆς τοῦ ἀνθρώπου πρόνοιαν ποιούμενος» κτλ., σελ. 342-343.

23. «Τοῦ αὐτοῦ περὶ τῆς δευτέρας παρουσίας τοῦ Κυρίου ἡμῶν καὶ περὶ τῆς τῶν σωμάτων ἀναστάσεως». Ἀρχ. «Ἐπειδὴ τὰς περὶ τῆς δευτέρας παρουσίας» κτλ., σελ. 350. Fabricii-Harles, XI, σ. 374, ἀριθ. 10.

24. «Γενναδίου μοναχοῦ τοῦ Σχολαρίου λύσεις ἀποριῶν τινων ἐπὶ τῇ Θείᾳ Γραφῇ περὶ τῶν ἐν τῷ Παραδείσῳ ξύλων, τοῦ τῆς ζωῆς ξύλου καὶ τῆς γνώσεως». Ἀρχ. «Περὶ τῶν ἐν Παραδείσῳ ξύλων» κτλ., σελ. 344.

25. Τοῦ αὐτοῦ «περὶ τῆς ἀρνήσεως Πέτρου καὶ τῆς τοῦ ἀλέκτορος φωνῆς». Ἀρχ. «Οἱ τῶν ἱερῶν Εὐαγγελίων ἐξηγηταὶ» κτλ., σελ. 357.

26. «Τοῦ αὐτοῦ περὶ τῆς ἀφῆς τοῦ Κυριακοῦ σώματος, ὅπως τῇ μὲν Μαγδαληνῇ ἐκωλύετο, ἐπετράπη δὲ τῷ Θωμᾷ». Ἀρχ. «Πολλοὶ μὲν τῶν διδασκάλων» κτλ., σελ. 362.

27. «Τοῦ αὐτοῦ περὶ τῆς ὥρας, καθ' ἣν ἐσταυρώθη ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός». Ἀρχ. «Περὶ τοῦ πάθους καὶ τῆς σταυρώσεως», σελ. 365.

28. «Περὶ τοῦ βιβλίου τοῦ Γεμιστοῦ καὶ κατὰ τῆς ἑλληνικῆς πολυθεΐας· ἐγράφη ἐν τῷ ὄρει τοῦ Μενοικέως, τῷ πρὸς ταῖς Φερραῖς. Γεννάδιος ὁ Σχολάριος καὶ τὰ λοιπὰ θείᾳ χάριτι τῷ τιμιωτάτῳ καὶ πάντα αρίστῳ κυρίῳ Ἰωάννῃ τῷ ἐξάρχῳ χαίρειν». Ἀρχ. «Ἐπαινοῦμέν σου τὴν περὶ τὰ βελτίω» κτλ., σελ. 370. Πλήθωνος νόμων συγγραφῆς τὰ σῳζόμενα, ἐκδ. C. Alexandre. Paris 1858, σ. 412-441. Migne τ. 160, σ. 633.

29. «Περὶ διαφορᾶς τῶν συγγνωστῶν καὶ θανασίμων ἁμαρτημάτων σύντομον καὶ σαφές». Ἀρχ. «Ὁ μὲν ἀκριβέστερος» κτλ., σελ. 388. Fabricii-Harles, XI, σ. 375, ἀριθ. 19.

30. «Τοῦ αὐτοῦ ἁγιωτάτου πατριάρχου κυρίου Γενναδίου εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ δοῦλον λεκτέον Θεοῦ» [sic]. Ἀρχ. «Ὁ θεῖος ἀπόστολος Παῦλος», σελ. 399.

31. «Τοῦ Μηδείας Θεοφάνους λόγος ἀποδεικνύων, ὅτι τοῦ ἀνθρωπείου σπέρματος ἀψύχου διαβληθέντος, τῇ δὲ σπερματικῇ αὐτοῦ δυνάμει συμπήξαντος ἐν τῇ μήτρᾳ τὸ ἔμβρυον, ἐνίησιν αὐτῷ τὴν ψυχὴν ὁ Θεός». Ἀρχ. «Τῆς ψυχῆς τοῦ τί ἦν εἶναι» κτλ., σελ. 404. Συνεξετυπώθη τῇ Λογικῇ τοῦ Νικηφόρου Βλεμμύδου ἐν Λειψίᾳ, ἔτει 1784-ῳ, σελ. 49-ῃ τοῦ τρίτου βιβλίου.

32. «Οἶμαι τοῦτ' εἶναι τοῦ Γενναδίου»· οὕτως ἐν τῷ κώδικι. Κείμενον ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Ἐδεξάμεθά σου τὸ σύγγραμμα καὶ καλῶς ἐπιστήσαντες» κτλ., σελ. 424. Ἐν τῷ 6-ῳ κώδικι τῆς ἐν τῇ πόλει Μιτυλήνῃ γυμνασιακῆς βιβλιοθήκης ἡ τοῦ κειμένου τούτου ἐπιγραφὴ ἔχει ὧδε· «Τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου κυροῦ Γενναδίου πρὸς τὸν μητροπολίτην Μηδείας Θεοφάνην περὶ τῆς λογικῆς καὶ ἀνθρωπίνης ψυχῆς, ἐπιστήσαντος τὸ προηγησάμενον ἐνταῦθα τούτου σύγγραμμα περὶ τῆς αὐτῆς ὑποθέσεως». Ὅρα Ἀ. Π.-Κεραμέως, Μαυρογορδ. Βιβλιοθήκης τ. Ι, σ. 135.

33. Γενναδίου ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Περὶ δὲ τοῦ μακαρίου Νύσσης», σελ. 443. Καὶ τοῦτο τὸ κείμενον ἐν τῷ ῥηθέντι Μιτυληναίῳ κώδικι ἐπιγέγραπται ὧδε· «Τοῦ αὐτοῦ ὅπως ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης οὐ συμφωνεῖ τοῖς λόγοις τούτοις καὶ

τῶν λοιπῶν ἁγίων ἐπὶ τῇ τοιαύτῃ ὑποθέσει, καὶ κατὰ Ἀπολλιναρίου».

34. «Καὶ τοῦτ' οἶμαι τοῦ Γενναδίου εἶναι». Κείμενον ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Οὐκ ἔστιν ἀνάγκη διότι ὁ ἅγιος Αὐγουστῖνος οὕτως εἶπε» κτλ., σελ. 449. Ἀλλὰ καὶ τοῦτο τὸ κείμενον ἐν τῷ Μιτυληναίῳ κώδικι ἐπιγέγραπται οὕτω· «Τοῦ αὐτοῦ ἐκ τοῦ τῶν θεολογικῶν τρίτου, ὅτι εἴ καί τινες ἐξηνέχθησαν, ἢ ἑκόντες ἢ ἄκοντες, ἀσύμφωνόν τι τῇ ὀρθῇ τῆς Ἐκκλησίας εἰπεῖν δόξῃ πρὸ τοῦ θαυμασθῆναι καλῶς, οὐ δεῖ προσέχειν τούτῳ».

35. «Οἶμαι καὶ τοῦτο εἶναι τοῦ Γενναδίου». Κείμενον ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Δύο οὐσῶν λατρειῶν καὶ θεραπειῶν τοῦ Θεοῦ», σελ. 451-480· αἱ κατόπι δύο σελίδες (481-482) ἀφέθησαν ἄγραφοι.

36. «Τοῦ μακαριωτάτου καὶ ἐν ἀληθείᾳ σοφωτάτου κυρίου Νικολάου τοῦ Καβάσιλα, περὶ τῆς ἐν Χριστῷ ζωῆς λόγος πρῶτος, ὅτι διὰ τῶν θείων συνίσταται μυστηρίων, τοῦ βαπτίσματος, τοῦ μύρου καὶ τῆς ἱερᾶς κοινωνίας». Ἀρχ. «Ἡ ἐν Χριστῷ ζωὴ φύεται» κτλ., σελ. 483. Migne τ. 150, σ. 493.

37. Τοῦ αὐτοῦ «περὶ τῆς ἐν Χριστῷ ζωῆς λόγος δεύτερος· τίνα συντέλειαν τὸ θεῖον παρέχεται βάπτισμα». Ἀρχ. «Τὸ μὲν οὖν ἐν τοῖς ἱεροῖς μυστηρίοις» κτλ., σελ. 496. Migne ἔνθ. ἀνωτ. σ. 521.

38. «Περὶ τῆς ἐν Χριστῷ ζωῆς λόγος τρίτος καὶ τίνα συντέλειαν αὐτῇ παρέχεται τὸ θεῖον μύρον». Ἀρχ. «Οὕτω δὲ πνευματικῶς συστάντες», σελ. 521. Migne ἔνθ. ἀνωτ. σ. 569.

39. «Περὶ τῆς ἐν Χριστῷ ζωῆς λόγος τέταρτος· τίνα συντέλειαν αὐτῇ δίδωσιν ἡ ἱερὰ κοινωνία». Ἀρχ. «Μετὰ δὲ τὸ μύρον» κτλ., σελ. 527. Migne ἔνθ. ἀνωτ. σ. 581.

40. «Περὶ τῆς ἐν Χριστῷ ζωῆς λόγος πέμπτος· τίνα συντέλειαν παρέχεται ἡ καθιέρωσις τοῦ ἱεροῦ θυσιαστηρίου». Ἀρχ. «Τῶν μὲν ἱερῶν μυστηρίων», σελ. 552. Migne ἔνθ. ἀνωτ. σ. 625.

41. «Περὶ τῆς ἐν Χριστῷ ζωῆς λόγος ἕκτος· πῶς αὐτὴν

ἀπὸ τῶν μυστηρίων λαβόντες φυλάξομεν». Ἀρχ. «Αἱ μὲν οὖν τῆς ἐν Χριστῷ ζωῆς» κτλ., σελ. 558. Migne ἔνθ. ἀνωτ. σ. 637.

42. Ἀδήλου «ὅτι σφόδρα λυσιτελὴς καὶ ἡ τοιαύτη μελέτη, καὶ ὅτι τὰ παρὰ Χριστοῦ μακαριζόμενα ποιεῖ κατορθοῦν». Ἀρχ. «Πρῶτον μὲν γὰρ τὸ ταῖς ἀγαθαῖς ἐννοίαις», σελ. 568-581.

43. (Γράψιμον ἑτεροῖον). «Τοῦ αὐτοῦ φιλοσόφου Θωμᾶ τοῦ Ἀχίνου (=Ἀκουίνου) λόγος ἕτερος, πῶς ἐστιν ὁ εἰδικὸς τόπος, ἔνθα αἱ ψυχαὶ καθαίρονται πρὶν ἀπελθεῖν εἰς τὸν Παράδεισον, καὶ ὅτι μετὰ τὴν τελευτὴν ἅπαντες τῶν ἀνθρώπων οἳ μὲν παραχρῆμα τῆς αἰωνίου ἀνταποδόσεως τὰ γέρα κομίζονται, οἳ δὲ παραχρῆμα ταῖς αἰωνίαις τιμωροῦνται βασάνοις, οἳ δὲ καθαίρονται διὰ καθαρτηρίου πυρὸς καὶ οὕτως εἰς τὴν βασιλείαν εἰσέρχονται· οὗ καὶ πρὸς ταῦτα ἀντίθεσις Ματθαίου κοιαίστορος τοῦ Παναρέτου». Ἀρχ. «Θωμᾶς. Νῦν λείπεται θεωρῆσαι περὶ δόξης» κτλ., σελ. 583-638 [αἱ λοιπαὶ σελίδες 639-642 ἄγραφοι]. P. Lambecii comment. de aug. biblioth. caes. Vindobonensi liber V, 1672, σ. 176.

44. «Μάρκου Εὐγενικοῦ πρὸς Λατίνους ἀπόκρισις». Ἀρχ. «Ἐπειδὴ μετὰ ἀγάπης ἀποκρίνασθαι», σελ. 643.

45. «Τοῦ αὐτοῦ πρὸς τοὺς αὐτοὺς Λατίνους». Ἀρχ. «Πολλῆς μὲν ὡς ἀληθῶς ἐρεύνης», σελ. 655.

46. «Τοῦ αὐτοῦ πρὸς αὐτούς». Ἀρχ. «Ἐπειδὴ σαφέστερον ἡμᾶς ἀπαιτεῖτε», σελ. 682.

47. «Πόνημα Ἰσα(α)κίου σεβαστοκράτορος περὶ προνοίας ἀπορημάτων» (ἀπορήματα?). Ἀρχ. «Εἰ πάντων ἐστὶ πρόνοια», σελ. 695-739.

36. Τεῦχος τῆς τετάρτης καὶ δεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων χάρτου 292, μήκους 0,303, πλ. 0,21, ὧν μία ἑκάστη τῶν σελίδων ἀριθμεῖ γραμμὰς 30 ἢ 31 (0,215 × 0,115).—Μελετίου τοῦ Γαλησιώτου συγγραφὴ διὰ στίχων πολιτικῶν, ἧς ἡ ἐπιγραφὴ «Μελέτη», διῃρημένη εἰς λόγους ἑπτά, ποικίλην ἔχοντας ὑπόθεσιν, θεολογικήν, ἀσκητικήν, ἱστορικήν· ὁ τρίτος λόγος ἐστὶ «κατ' Ἰταλῶν», ἀναγράφων καὶ τὰ πολιτικὰ καὶ τὰ θρησκευ-

τικὰ τούτων ἔθιμα. Περὶ τοῦ συγγραφέως ὅρα Georgii Pachymeris de Michaele et Andronico Palaeologis ἐκδ. Bekker, τ. II, σ. 17. Ἀ. Δημητρακοπούλου, Ὀρθόδοξος Ἑλλάς, σ. 60. Ἡ τοῦ Μελετίου συγγραφὴ ἄρχεται ἀπὸ τῶν ἑξῆς στίχων.

† Ἁγνή, προηγοῦ τῶν ἐμῶν πονημάτων †.
Βίβλος παρὰ τοῦ ταπεινοῦ γραφεῖσα Μελετίου
διὰ τὸν λόγον τὸν ὀρθὸν ἐν Σκύρῳ καθειργμένου,
τὰ πρῶτα δὲ καὶ τοῖς δεσμοῖς εἰς Ῥώμην ἀπαχθέντος
καὶ διετίαν παντελῆ πληρώσαντος ἐκεῖσε·
ἐγράφη δὲ στιχουργικῶς μετὰ Θεὸν πρὸς φίλον
ἀδελφιδοῦν καὶ φοιτητὴν καὶ γνήσιόν μοι τέκνον,
ὃν ὤδινα πνευματικῶς ἐκ πρώτης ἡλικίας,
καὶ σὺν αὐτῷ καὶ πρὸς λοιποὺς ἀγαπητούς μου μύστας·
ἐπέχει δὲ τὸ σύγγραμμα πρὸς τύπον τῆς ἑβδόμης
λόγους ἑπτὰ τὸν ἀριθμὸν εὐτάκτως γεγραμμένους,
οὓς δὴ καὶ μετερχόμενος ἀνερευνήσας εὕρῃς
τὰς ὑποθέσεις δέκα τε πρὸς ταῖς διακοσίαις·
σὺν αἷς καὶ τὰ κεφάλαια, χωρὶς τῶν δύο λόγων,
ἑπτὰ πρὸς τοῖς ἑξήκοντα καὶ τοῖς ἑπτακοσίοις
ὁ δ' ἀριθμὸς ἐκμετρηθεὶς ἀπταίστως ὁ τῶν στίχων
συμποσωθείη σοι καλῶς εἰς μυριάδας δύο.
Εἰ δὲ τῆς βίβλου τὸν σκοπὸν ὡς νουνεχὴς σκοπήσεις
καὶ κατὰ νοῦν θεοφιλῆ τοῖς ἐν αὐτῇ προσέξοις,
ἀπανθισμὸν καὶ συλλογὴν τῆς Παλαιᾶς καὶ Νέας
καὶ πάντων τὰ καλλίονα καὶ κρείττονα μαθήσῃ,
καὶ σύμπαν εἴ τι καίριον καὶ βέλτιστον εὑρήσεις,
συντεθειμένα προσφυῶς κατὰ βαθμὸν καὶ τάξιν
καὶ καθ' εἱρμὸν ἁρμόδιον εὐρύθμως ἀραρότως,
καὶ παγκαρπίαν ἀληθῶς ὡς ἐκ λειμῶνος θείου
εὑρήσεις καὶ τρυφήσειας τρυφὴν ἀθανασίας
καὶ τῷ τῶν λόγων χορηγῷ τὴν δόξαν ἀναπέμψεις,
τῷ παντουργῷ καὶ ποιητῇ καὶ κτίστῃ τῶν ἁπάντων·
εἰ δὲ πρὸς τὴν ἀφέλειαν τῶν λόγων ἀποβλέψεις,
συγγνώμων ἔσο τῷ γραφεῖ τῆς ἀμαθίας χάριν.
Ἀλλὰ καὶ τοῦτο, φίλτατε, μηδόλως παραδράμῃς·
ἑπταετία παντελὴς ἡμῖν ἐν ἐξορίᾳ,
ὑπερμαχοῦσι τῶν σεπτῶν δογμάτων, ἐπληρώθη,

σὺν πᾶσι τοῖς χρειώδεσι καὶ βίβλων στερουμένοις,
ὃ πρὸς συγγνώμην οὐ μικρὸν κριταῖς εὐσυνειδήτοις.
Θεῷ δὲ δόξα τῷ σοφοὺς ποιοῦντι τοὺς ἀσόφους.

Αἰνιγματώδεις ἔννοιαι μελέτης Μελετίου,
ἔχουσαι ῥῆσιν ἔκφορον, ὡς ὄστρακον συνέχειν
μάργαρον ἔνδον τιμαλφῆ, παιδείαν κρυφιώδη
καὶ μυστικὴν παραίνεσιν πνευματικῶν ἀγώνων
πρὸς ὑπηρέτην ἀδελφὸν καὶ φοιτητὴν καὶ φίλον.
Ἑπτὰ τὰ γράμματα λοιπόν εἰσι τὰ τῆς μελέτης
καὶ πρὸς αὐτὰ τὸν ἀριθμὸν σῴζοντα τῆς ἑπτάδος
καὶ κόμματα νουθετικὰ γεγόνασι προσφόρως,
στίχοις ἑπτὰ τὴν ἔννοιαν κεφαλαιοῦντα πᾶσαν,
καὶ πάλιν ὡς ἐξ ὑπαρχῆς ἑτέρου κεφαλαίου
πρὸς ἄλλην μεταβαίνοντα στιχόπλοκον ἑπτάδα·
ὁμοῦ δ' ἡ σύμπασα πληθὺς τῶν ῥηθεισῶν ἑπτάδων
ὡς πρὸς ἑνὸς ἀπαρτισμὸν συμποσουμένη λόγου
ὀκτὼ σὺν ὀγδοήκοντα μετὰ πεντακοσίων·
εἰ γὰρ ψηφίσεις ἀκριβῶς μελέτης τὰ στοιχεῖα
καὶ συναγάγῃς ἐν ταὐτῷ, πρὸς τόσον συμποσώσεις.
Καὶ τοίνυν, φίλε, συνετῶς πρόσχες τοῖς λεγομένοις κτλ.

37. Τεῦχος ἐκ χάρτου διμερὲς (μήκους 0,294, πλ. 0,21), ὅπερ ἦν Εὐθυμίου τινὸς Ἐφραὶμ μετονομασθέντος. Τὸ πρῶτον μέρος ἀριθμεῖ φύλλα 28, ὧν τὰ ὀκτὼ πρῶτα καὶ τὰ τρία ἔσχατα παντάπασιν ἄγραφα· τὰ δὲ λοιπά, γεγραμμένα τῇ ὀκτωκαιδεκάτῃ ἑκατονταετηρίδι, περιέχει ἐν ἑαυτοῖς τὰ κείμενα ταῦτα· 1) «Ἐκ τοῦ Ματθαίου κοιαίστορος Ἀγγέλου τοῦ Παναρέτου κατὰ Λατίνων» ἀπόσπασμα, οὗ ἡ ἀρχή· «Γρηγόριος λέγει ὁ Νύσσης» κτλ., φ. 9β. 2) «Ἐκ τῆς χειρογράφου βίβλου τῆς ἐν μεμβράναις τοῦ ὁμολογητοῦ Μαξίμου, ἣν εὗρον ἐν τῷ Σινᾷ» τεμάχη τινά· εἶτα «Περὶ τῶν πέντε τρόπων τῆς φυσικῆς θεωρίας σύντομος ἐξήγησις», «Ἐκ τῶν ἐπιλύσεων τινῶν ἀποριῶν», «Ἐκ τῶν τοῦ Ἰωάννου τοῦ Νηστευτοῦ», «Ἐκ τῶν τοῦ Ἰωάννου μοναχοῦ καὶ διακόνου, μαθητοῦ τοῦ μεγάλου Βασιλείου, οὗτινος ἡ ἐπωνυμία Τέκνον Ὑπακοῆς», «Ἔκ τινος ἀνωνύμου» περὶ τοῦ ξύλου τῆς ζωῆς, φ. 10α-14α. 3) «Μαξίμου τοῦ ὁμολογητοῦ ἐξηγήσεις τινῶν ῥητῶν τοῦ θεολόγου

Γρηγορίου». Καὶ ταῦτα μὲν ἔχει τὸ τεῦχος ἐν τῷ πρώτῳ αὐτοῦ μέρει· τὸ δὲ λοιπὸν μέρος, συνιστάμενον ἐκ φύλλων ἠριθμημένων 413, περιλαμβάνει ἐν ἑαυτῷ «Πίνακα τῆς ἐν τῇ βίβλῳ ταύτῃ ὕλης τῶν λόγων, ἢ καὶ διδασκαλίας» καὶ τὸ κείμενον αὐτῶν τούτων τῶν λόγων ἢ διδασκαλιῶν, ἀνερχομένων εἰς τὸν 83-ον ἀριθμόν· πάντες δὲ οὗτοι οἱ λόγοι, προσήκοντες ἀνωνύμῳ τινὶ ἱεροκήρυκι, συντεθειμένοι εἰσὶν εἰς φράσιν δημοτικήν, ἐν δὲ τῷ τεύχει τούτῳ ἐγράφησαν τῇ ἑπτακαιδεκάτῃ ἑκατονταετηρίδι, ὅτε καὶ προσετέθη αὐτῷ τὸ «Ἐπιτάφιοι λόγοι τίνα μεθόδῳ γίνονται» (φύλλ. 406-408), οὗ ἡ ἀρχή· «Ὁ ἐπιτάφιος λόγος τρία μάλιστα ἀπαιτεῖ» κτλ.

38. Τεῦχος ἐκ χάρτου, γραφὲν περὶ τὴν ἀρχὴν τῆς ἐννεακαιδεκάτης ἑκατονταετηρίδος καὶ ἐπὶ μὲν τῆς ῥάχεως αὐτοῦ ἔντυπον ἔχον ἐπιγραφήν, τὸ «Χρονικὸν Μολδαβίας τ. 2», ἀρχόμενον δὲ ἀπὸ σελίδος 595-ης· λήγει δὲ τὸ ὅλον τεῦχος εἰς σελίδα 1158-ην· καὶ ἀπὸ μὲν τῆς 595-ης σελίδος ἄρχεται «διήγησις τῆς αὐθεντίας τοῦ Ἀντιόχου βόδα, υἱοῦ τοῦ Καντεμὶρ βόδα», ἧς ἡ ἀρχή· «Εἰς αὐτὸν τὸν χρόνον ἦλθεν αὐθέντης τῆς τζάρας» κτλ. Ἐν δὲ τῷ πέρατι τῆς 1158-ης σελίδος γέγραπται τὸ σημείωμα τοῦτο· «Καὶ ταῦτα μὲν ἐπὶ τοῦ παρόντος πρώτου τόμου, τὰ δὲ ἐναπολειφθέντα καὶ ἀκόλουθα τῆς ἐνταῦθα τριχρονίας τοῦ Ματαίη βόδα ἐπιγράφονται εἰς τὸν δεύτερον τόμον. Τέλος τοῦ πρώτου τόμου τῆς Μολδαβικῆς ἱστορίας». Εἶτα προσετέθη τῷ κώδικι κείμενον ἔμμετρον, ἀνώνυμόν τε καὶ ἀνεπίγραφον, ἐκ στίχων δεκαπεντασυλλάβων 230, δι' ὧν περιγράφεται ἡ περίζωσις τῆς σπάθης τοῦ σουλτάνου Ἀχμὲτ τοῦ τρίτου καὶ ἡ ἐν τῷ σουλτανάτῳ διαδοχὴ Μαχμοὺτ τοῦ πρώτου· ἔχει δὲ τῶν στίχων τούτων ἡ ἀρχὴ οὕτω· «Μὲ τοὺς παρόντας στίχους μου θέλω νὰ εὐφημήσω | τὴν μείζονα τῶν ἀρετῶν καὶ νὰ παρακινήσω» κτλ. Τὸ δὲ τέλος αὐτῶν οὕτω· «ταῦτα δὲ εἰς ἐνθύμησιν μὲ στίχους σημειοῦνται | καὶ ὅσοι τοὺς διαβάζουνε, ἂν θέλουν, ἂς μ' εὐχοῦνται». Σημειωτέον δὲ καὶ τοῦτο, ὅτι ἐν τῇ ἐπάνω ᾤᾳ τῆς 595-ης σελίδος ὑπάρχει τὸ σημείωμα τόδε· «Καὶ τόδε ἀφιερώθη εἰς τὴν

βιβλιοθήκην τοῦ Π: Τάφου παρὰ τοῦ ἀρχιμ: κ. Γερμανοῦ τοῦ Ἀφθονίδου ἐν ἔτει ͵αωπ' [=1880], ὀκτωβρίου γ'».

39. Κῶδιξ χάρτινος, μήκους 0,297, πλ. 0,195. «Τόμος γ'» ὁμιλιῶν καὶ διδαχῶν αὐτογράφων Κυρίλλου τοῦ Λουκάρεως, πατριάρχου Ἀλεξανδρείας καὶ εἶτα Κωνσταντινουπόλεως· διῄρηται δὲ εἰς μέρη δύο. Ὁ δέτης τούτου τοῦ κώδικος ἔθετο ἔνδον τῆς πρώτης αὐτοῦ πινακίδος φύλλα 14, ὧν τρία μόνα γεγραμμένα (3-5), περιέχοντα ἐν ἑαυτοῖς ἀναγραφὴν τῶν ἐν αὐτῷ τούτῳ τῷ κώδικι διδασκαλιῶν· μετὰ δὲ τὰ τοιαῦτα φύλλα ὑπάρχει τὸ κύριον τεῦχος ὅπερ συνίσταται ἐκ φύλλων 567· τούτων δὲ τὰ μὲν δύο πρώτιστα πεπληρωμένα ἐστὶ πίνακός τινος, ἐξαριθμοῦντος τὰς ἐν αὐτῷ τούτῳ τῷ τεύχει διδαχὰς Κυρίλλου τοῦ Λουκάρεως, τὰ δὲ τελευταῖα τριάκοντα καὶ τέσσαρα φύλλα παντάπασιν ἄγραφα. Αἱ μέντοι πλείους τῶν διδαχῶν οὐκ εἰσίν, ὡς φαίνεται, τέλειαι· σχέδια γὰρ μᾶλλον ἔοικεν εἶναι διδαχῶν, καὶ διὰ τοῦτο πεπληρωμένα ἐστὶ καὶ διαγραφῶν καὶ μεταλλαγῶν, καὶ σημειώσεων ὑπομνηστικῶν, ὧν οὐκ ὀλίγαι λατινικαί. Πᾶσαι δ' ὁμοῦ αἱ διδαχαί εἰσι 53· τούτων δ' ἡ πρώτη (φ. 2α) ἐπιγραφὴν ἔχει τοιαύτην· «1615 ἰαννουαρ. 29. ἀρχὴ σὺν θεῷ ἁγίῳ. Ἐν Τριγοβίστῳ. Εἰς τὸν Τελώνην καὶ εἰς τὸν Φαρισαῖον». Τοῦ αὐτοῦ ἔτους ἑτέρα ὁμιλία ἐρρήθη ἐν Τριγοβίστῳ τῇ 2-ᾳ μηνὸς ἀπριλίου (φ. 16), ἑτέρα δὲ τῇ 29-ῃ μηνὸς ἰουνίου (φ. 20). Ἕπονται ταύταις ὁμιλίαι εἴκοσι καὶ πέντε ῥηθεῖσαι ἐν Αἰγύπτῳ [=Καΐρῳ], ὧν ἡ πρώτη «͵αχιε' ὀκτωβρίου 22 ἐν Αἰγύπτῳ, ὅταν ἦλθα ἀπὸ τὴν Βλαχίαν» (φ. 25), ἡ δὲ τελευταία τῇ 23-ῃ μαρτίου μηνὸς ἔτους 1617-ου (φ. 179β)· ταύταις ἕπονται ὁμιλίαι δύο, ῥηθεῖσαι ἐν Ἀλεξανδρείᾳ τῷ αὐτῷ ἔτει (φ. 193 καὶ 206), καὶ ἑτέρα τις ἐπιγραφὴν ἔχουσα τὸ «περὶ θεοῦ». Ὧδε λήγει τὸ πρῶτον μέρος τοῦ γ' τόμου τῶν ὁμιλιῶν τοῦ πατριάρχου Λουκάρεως· τὸ δ' ἕτερον μέρος ἄρχεται ἀπὸ ὁμιλίας τινὸς εἰς τὴν περιτομὴν τοῦ Ἰούδα, ῥηθείσης ἔτει 1621-ῳ (φ. 289)· ταύτῃ δὲ ἕπονται ὁμιλίαι τινὲς ῥηθεῖσαι ἐν Κωνσταντινουπόλει μεταξὺ τῶν ἐτῶν 1623 καὶ 1626· τούτων δὲ μία ἐρρήθη ἔτει «1624 ἐν τῷ Πατριαρχείῳ, εἰς τὴν γέννησιν τοῦ Χριστοῦ» (φ. 349).

40. Τεῦχος ἐκ φύλλων χάρτου 228 (μήκους 0,298, πλ. 0,21), ὧν τὰ πρώτιστα ἐννέα καὶ τὰ ἔσχατα πεντεκαίδεκα· παντάπασιν ἄγραφα· περιέχει δὲ τοῦτο ἐν ἑαυτῷ Εὐγενίου τοῦ Βουλγάρεως ἑλληνικὴν αὐτόγραφον ἑρμηνείαν τινῶν «Στοιχείων γεωμετρίας», ὡς δὲ φαίνεται τῶν ὑπὸ Ἀ. Τακουετίου λατινιστὶ συγγεγραμμένων· τούτων δὲ τῶν στοιχείων, εἰς πέντε διῃρημένων βιβλία, προτέτακται «Ἀφήγησις ἱστορικὴ περὶ ἀρχῆς καὶ προόδου τῶν μαθηματικῶν ἐπιστημῶν». Ὁ μεταφράστης ἐνέγραψε τὸ ἑαυτοῦ ὄνομα μετὰ τὸ πέρας τοῦ πρώτου τῶν στοιχείων βιβλίου (φ. 56α). Τούτοις δὲ πάλιν τοῖς στοιχείοις ἕπεται συγγραφὴ ἑτέρα (φ. 108-213), διῃρημένη εἰς ἑπτὰ βιβλία, ἥτις πραγματεύεται ὡσαύτως περὶ γεωμετρίας· προτέτακται δὲ καὶ ταύτης «Ὑπόμνησις τοῖς τὴν γεωμετρίαν διδασκομένοις».

41. Τεῦχος χάρτινον τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων περίπου 970, ἐν οἷς περιέχεται συλλογὴ διδαχῶν ἠθικῶν καὶ ὁμιλιῶν ἐκκλησιαστικῶν οὐκ ὀλίγων, εἰς ἀλφαβητικὴν τεταγμένων τάξιν· ἔχουσι δὲ αὗται καὶ συμπληρώματα, γεγραμμένα ἐπὶ χαρτίων παντοίας ἐκτάσεως, προσκεκολλημένων τοῖς οἰκείοις τοῦ τεύχους φύλλοις. Ὁ ἀρχιμανδρίτης Ἀντωνῖνος ἐν τῷ οἰκείῳ τύποις ἀνεκδότῳ καταλόγῳ τῆς τοῦ Μετοχίου τοῦ Παναγίου Τάφου βιβλιοθήκης ἔγραψεν, ὅτι τοῦτο τὸ τεῦχος πρότερον ἐπὶ τῆς αὐτοῦ ῥάχεως εἶχεν ἐπιγραφὴν τοιαύτην· «Καθαρὰ διδασκαλία τῆς Ἐκκλησίας».

42. Τεῦχος χάρτινον τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος, ἀκέφαλόν τε καὶ ἀτελές, συνιστάμενον ἐκ φύλλων 283, μήκους 0,295, πλ. 0,215· περιέχονται δ' ἐν αὐτοῖς ὁμιλίαι κατὰ τὸ πλεῖστον ἀνώνυμοι, πρὸς ἀνάγνωσιν ἐν ταῖς Κυριακαῖς ἑκάστου ἐνιαυτοῦ. Ἀρχ. « - - - ὁμοτρόπως κολάζονται ἔδειξεν ὁ Φαρισαῖος καὶ τῷ σχήματι αὐτοῦ» κτλ. — Φύλλ. 3β «Κυριακῇ τοῦ Ἀσώτου» λόγος β', οὗ ἡ ἀρχή· «Ἀγαθὸς μὲν ὁ Θεὸς» κτλ. —Φύλλ. 19α Ἰωάννου τοῦ Χρυσοστόμου λόγος Κυριακῇ α' τῶν Νηστειῶν, οὗ ἡ ἀρχή· «Ἡ τεσσαρακονθήμερος αὕτη νηστεία» κτλ. — Φύλλ. 269β «Ἐξήγησις τοῦ θεοφιλεστάτου ἀρχι-

επισκόπου Βουλγαρίας κυροῦ Θεοφυλάκτου εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον, ἤτοι τὸ Ἐν ἀρχῇ ἦν ὁ Λόγος». Ἀρχ. «Τοῦ πνεύματος ἡ δύναμις ἐν ἀσθενείᾳ». — Φύλλ. 280α «Ἑρμηνεία τοῦ αὐτοῦ κυροῦ Θεοφυλάκτου Βουλγαρίας εἰς τὰ ἑωθινὰ εὐαγγέλια. Κατὰ Ματθαῖον εὐαγγέλιον α'». Φύλλ. 281β «Τοῦ αὐτοῦ εἰς τὸ β' ἑωθινὸν τοῦ κατὰ Μάρκον. Εὐαγγέλιον β'». — Φύλλ. 282β «Τοῦ αὐτοῦ εἰς τὸ τρίτον».

43. Τεῦχος ἐκ φύλλων χάρτου 342 (μήκους 0,282, πλ. 0,21), γραφὲν περὶ τὸ μέσον τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος· ἔστι δὲ τὸ κείμενον αὐτοῦ ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 36 (0,21 × 0,14). — «Ἐτυμολογικὸν τοῦ Σουΐδα.·. Τὸ α μετὰ τοῦ α: Ἄαπτος, ὁ ἀπροσπέλαστος· παρὰ τὸ ἅπτω ἅπτος» κτλ. Τέλος· «εἰ δὲ ἑνὶ φωνήεντι παραλήγεται, ἐκτείνει τὸ α, οἷον χώρα· οὕτω καὶ ὥρα.·. + +». Ἄνωθεν τῆς ἐπιγραφῆς ἐρυθρὸν ὑπάρχει κόσμημα ταινιοειδές, τούτου δὲ ὑπέρκειται τὸ σημείωμα τόδε· «Καὶ τόδε πρὸς τοῖς ἄλλοις Χρυσάνθου ἱεροδιακόνου, καὶ δι' αὐτοῦ τῷ Παναγίῳ Τάφῳ. 1688».

44. Τεῦχος χάρτινον μεγάλου σχήματος, οὗ προέταξεν ὁ δέτης φύλλα τεσσαράκοντα παντάπασιν ἄγραφα, οἷς ἕπεται τετράδια ἠριθμημένα ξθ' καὶ φύλλα πάλιν ὀκτὼ παντάπασιν ἄγραφα.— «Τοῦ σοφωτάτου ἰατροῦ καὶ θεολόγου τῆς Μεγάλης Ἐκκλησίας κυρίου Γεωργίου Κορέσση τοῦ Χίου σημειώσεις εἰς τὴν μεταφυσικὴν τοῦ Ἀριστοτέλους». Ἀρχ. «Α-ον. Ζητήσεις, τί δήποτε τοιοῦτον προοίμιον ὁ Ἀριστοτέλης προτείνων, πάντες ἄνθρωποι φησὶ καὶ τὰ ἑξῆς»; Μετὰ τὸ κείμενον· «Ἅπαντα εἰσὶ τετράδια· τὸ δὲ αον καὶ ξθον ἑξάδιον, καὶ τὸ δ. ε. ς. ὀκτάδια: εἴληφε τέλος κατὰ τὸ ͵αχπθον [=1689] ἐν μηνὶ δεκεμβρίῳ γῃ, ὥρᾳ ζῃ τῆς νυκτός». Ἄνωθεν τῆς ἐπιγραφῆς· «Μετεγράφη ἡ παροῦσα βίβλος ἐν Χίῳ διὰ γροσίων τριάκοντα καὶ τριῶν, ἅτινα δέδωκα ἐγὼ Χρύσανθος ὁ ἀρχιδιάκονος τοῦ ἀποστολικοῦ τῶν Ἱεροσολύμων θρόνου, καὶ ἔστω κτῆμα αἰώνιον τῷ παναγίῳ καὶ δεσποτικῷ Τάφῳ».

45. Τεῦχος μεμβράνινον, βεβλαμμένον ὑφ' ὕδατος, γραφὲν δὲ ἔτει 1072-ῳ ἢ 1073-ῳ· ἔστι δὲ τοῦτο τὸ τεῦχος μήκους

0,28, πλάτους 0,225, καὶ τῶν σελίδων αὐτοῦ διστήλων οὐσῶν ἐκ γραμμῶν 32, ὁ τοῦ κειμένου χῶρος ἐν μιᾷ τούτων ἑκάστῃ ἐστὶν ὡς 0,223×0,17. Ἔνδον τῆς πρώτης πινακίδος ὁ δέτης ἐσημειώσατο τὸ 7092-ον ἔτος [=1583-1584], καὶ σημείωμά τι περὶ τοῦ ὅτι μοναχὸς ὢν αὐτὸς ἐγένετό που ἡγούμενος τῇ 2-ᾳ μηνὸς ἀπριλίου τοῦ αὐτοῦ ἔτους· πρὸ δὲ τῆς ἀρχῆς τοῦ κειμένου εὑρίσκεται φύλλον ἓν χάρτινον, ὅπερ ἐμπεριέχει τινὰ σημειώματα Ἀχιλλείου τινὸς περὶ τοῦ ὅτι αὐτὸς οὗτος ὁ Ἀχίλλειος ἔτει ͵ζϥε΄ [=1586-1587] προήχθη εἰς τὸν βαθμὸν ἱερομονάχου καὶ πρωτοσυγκέλλου πατριαρχικοῦ, χειροτονηθεὶς οὕτως ὑπὸ τοῦ Γοτθίας μητροπολίτου Καλλινίκου.

1. «Περὶ τοῦ ἐν ἁγίοις ἀββᾶ Δωροθέου». Ἀρχ. «Ἰστέον ὅτι δύο γεγόνασι Δωρόθεοι», φ. 1α. Migne τ. 88, σ. 1612.

2. «Ἐπιστολὴ πρὸς ἀδελφόν, αἰτήσαντα πεμφθῆναι αὐτῷ τοὺς εὑρεθέντας λόγους τοῦ ὁσίου πατρὸς ἡμῶν ἀββᾶ Δωροθέου». Ἀρχ. «Ἐπαινῶ τῆς προαιρέσεως» κτλ., φ. 1β. Migne ἔνθ. ἀνωτ. σ. 1613.

3. Τοῦ ἀββᾶ Δωροθέου συγγραφαὶ κγ΄ μετὰ τοῦ πίνακος αὐτῶν, ὃν ὁ καλλιγράφος ἔταξε πρὸ τοῦ κειμένου, φ. 3β-81 [Migne ἔνθ. ἀνωτ. σελ. 1617-1836]. Τὸ 39-ον φύλλον, ἓν ὅλον τετράδιον (φ. 40-48) καὶ τὸ 66-ον φύλλον ἐλλείπει τῷ κώδικι.

4. «Διήγησις Ἀμμωνίου μοναχοῦ περὶ τῶν ἐν Σινὰ καὶ Ῥαϊθοῦ ἀναιρεθέντων ἁγίων πατέρων». Ἀρχ. «Ἐγένετό μοι ποτὲ καθεζομένῳ» κτλ., φ. 82α. Combefisii, Illustr. Christi mart. lecti triumphi, σ. 88. Παλαιὰ σλαβικὴ μετάφρασις: **Аммонія мниха повѣсть о убіенныхъ св. отцахъ въ Синаѣ и Раиѳѣ по рукописи XIV в. издалъ И. Помяловскій. С.-Петербургъ 1890.**

5. «Νείλου μοναχοῦ περὶ κενοδοξίας». Ἀρχ. «Κενοδοξία πάθος» κτλ., φ. 91α [Migne τ. 79, σ. 1160]. Ὑπὸ τὸ κείμενον (φ. 91β)· «† Ἐτελειώθ(η) ἡ βίβλος αὔτ(η) ἰνδι. ια΄ ἔτους ͵ςφπα: οἱ ἀναγιν(ώσκοντες) εὔχ(εσ)θε τὸν γράψ(αντα) +».

6. «Τοῦ ὁσίου πατρὸς ἡμῶν Μάρκου μοναχοῦ περὶ μετανοίας τῆς πᾶσι πάντοτε προσηκούσης εἰς τὴν δύναμιν». Ἀρχ. «Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός», φ. 92α. Migne τ. 65, σ. 965.

7. «Τοῦ αὐτοῦ περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι». Ἀρχ. «Ἡ τῶν ἄνωθεν κακοπιστία (κῶδ. κακοπιστεία)» κτλ., φ. 99β. Migne τ. 65, σ. 929.

8. «Διαδόχου, ἐπισκόπου Φωτικῆς τῆς Ἠπείρου, λόγος ἀσκητικὸς» ἐκ §§ ϙθ'. Ἀρχ. «Πάσης πνευματικῆς» κτλ., φ. 110β.

46. Τεῦχος χάρτινον τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος (μήκους 0,278, πλάτους 0,21), οὗ τὸ κύριον κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστη δίστηλον ἐκ γραμμῶν 33.

1. Πίνακες μηνῶν Ἀθηναίων, Ἑλλήνων, Ἑβραίων, Αἰγυπτίων, Ῥωμαίων· εἶτα «αἱ ὧραι τῆς ἡλικίας», «τὰ τῶν δακτύλων ὀνόματα» καὶ «περὶ μέτρων», φ. 1α. Τὸ περὶ μέτρων ἔχει ὧδε· «Ὁ παλαιστὴς ἔχει δακτύλους δ'· ἡ σπιθαμὴ παλαιστὰς γ', ἤτοι δακτύλους ιβ'· ὁ ποὺς παλαιστὰς δ'· τὸ βῆμα πόδας β ∠'· ὁ (κῶδ. ἡ) πῆχυς παλαιστὰς η'· ἡ ὀργυιὰ πήχεις γ'· ὁ κάλαμος πήχεις ε'· τὸ πλέθρον ὀργυιὰς ε'· τὸ στάδιον ὀργυιὰς ρ', ἤτοι πήχεις τ', πόδας χ', βήματα σμ'· ὁ δάκτυλος στάδια β'· τὸ μίλιον στάδια ζ ∠', ἤτοι ὀργυιὰς ψγ'. Ἀπὸ Ἱερουσαλὴμ μέχρι Βηθανίας στάδια ιε', ἤτοι μίλια β'».

2. «Περὶ σταθμῶν. Τὸ τάλαντον λίτραι ρκε'· τὸ ἀσσάριον λεπτά, ἤτοι νουμία ξ'· τὸ δηνάριον ἀσσάρια ξ'· τὸ ἀργύριον δηνάρια ρ', καὶ πέπραται ὁ Κύριος εἰς λ' ἀργύρια, ἅπερ γίνονται δηνάρια ιγ', ἤτοι χρυσᾶ νομίσματα ρ'. Ἡ οὐγγία στατῆρες δύο· ὁ (κῶδ. ἡ) στατὴρ δίδραχμα δύο· ἡ δραχμὴ τὸ ∠' τῆς οὐγγίας· ἡ οὐγγία ἑξάγια ἕξ· ἡ λίτρα οὐγγίας ιβ'· ὁ ὀβολὸς κεράτια γ'· ὁ κονδράντης, δ(ς) καλεῖται καὶ σίκλος, τὸ δ'' ἐστὶ τῆς οὐγγίας· τὸ σάττον μόδιον κούμουλον· τὸ τάλαντον ποιεῖ μνᾶς ε'· ἡ μνᾶ δραχμὰς ρ'· ἡ δραχμὴ ὀβολῶν ς'», φύλλ. 2α. Εἶτα «Ἐξελληνισμὸς τῶν προφητικῶν θείων ὀνομάτων» καὶ «Ἐξελληνισμὸς τῶν ἀποστολικῶν ὀνομάτων».

3. «Σύνταγμα κατὰ στοιχεῖον τῶν ἐμπεριεχομένων ἁπασῶν ὑποθέσεων τοῖς ἱεροῖς καὶ θείοις κανόσι, πονηθέν τε ἅμα καὶ συντεθὲν τῷ ἐν ἱερομονάχοις ἐλαχίστῳ Ματθαίῳ». Ἀρχ. «Τὸ

τῶν ἱερῶν καὶ θείων χρῆμα» κτλ., φ. 3α. Τῷ συντάγματι τούτῳ προσετέθησαν οἱ κανόνες Ἰωάννου τοῦ Νηστευτοῦ, Νικήτα Ἡρακλείας ἀποκρίσεις πρός τινα Κωνσταντῖνον ἐπίσκοπον, κανόνες Νικηφόρου τοῦ ὁμολογητοῦ, κανονικαὶ ἀποκρίσεις Ἰωάννου τοῦ Κίτρους, πίναξ ὀφφικίων τῆς Μεγάλης Ἐκκλησίας, τάξις προκαθεδρίας μητροπόλεων καὶ ἀρχιεπισκοπῶν, νομικαὶ λατινικαὶ λέξεις, τὰ κατὰ Νεστορίου ιβ' κεφάλαια Κυρίλλου Ἀλεξανδρείας κτλ.

4. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ πίκλην Παλαμᾶ, ἐπιστολή, ἣν ἐξ Ἀσίας αἰχμάλωτος ὢν πρὸς τὴν ἑαυτοῦ ἐκκλησίαν ἀπέστειλεν». Ἀρχ. «Ἄβυσσον μὲν εἶναι πολλὴν τὰ τοῦ Θεοῦ κρίματα» κτλ., φ. 203α.

5. «Τοῦ λογιωτάτου καὶ ῥητορικωτάτου κυρδῦ Νικολάου τοῦ Καβάσιλα θεωρία εἰς τὴν καθιέρωσιν τοῦ ναοῦ». Ἀρχ. «Τῶν μὲν ἱερῶν μοναστηρίων» κτλ., φ. 210β.

6. «Τοῦ ἁγιωτάτου Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ Παλαμᾶ, διάλεξις πρὸς τοὺς ἀθέους Χιόνας, συγγραφεῖσα παρὰ ἰατροῦ τοῦ Ταρωνίτου, παρόντος καὶ αὐτηκόου γεγονότος, ἐν τῇ Ἀνατολῇ». Ἀρχ. «Ἦλθον οἱ Χιόναι φησὶν ὁρισμῷ τοῦ ἀμηρᾶ» κτλ., φ. 213β. Ἐξ ἑτέρου κώδικος ἐξεδόθη τύποις ἐπιμελείᾳ Ἀλκιβιάδου Σακκελίωνος. Σωτήρ, XV, 1892, σ. 236-246.

7. Κανόνες ἀκέφαλοι τῶν ἁγίων ἀποστόλων, φ. 216α.

8. Κανόνες τῆς α' οἰκουμενικῆς συνόδου, φ. 219β.

9. Κανόνες τῆς β' οἰκουμενικῆς συνόδου, φ. 221α.

10. Κανόνες τῆς δ' οἰκουμενικῆς συνόδου, φ. 222β. Τὸ τέλος αὐτῶν ἐλλείπει τῷ κώδικι.

11. Τεμάχιον ἐκ δύο φύλλων ἑτέρου τινὸς κώδικος τῆς ιε' ἑκατονταετηρίδος, ἐμπεριέχον μέρος πίνακος τίτλων νομοκάνονός τινος, φ. 224-225.

12. Εἴκοσι φύλλα γραπτοῦ τινος βιβλιαρίου τῆς ιδ' ἑκατ., οὗ τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ δίστηλον. «Ἔκθεσις ὅπως γράφει ὁ Κωνσταντινουπόλεως πατριάρχης τῷ πάπᾳ καὶ τοῖς λοιποῖς πατριάρχαις καὶ ἀρχιεπισκόποις, ναὶ μὴν καὶ τοῖς μητροπολίταις καὶ βασιλεῦσι καὶ τοῖς κοσμικὰς ἀρχὰς διιθύνουσιν,

ὅπως τε νῦν ἔχουσι τάξεως οἱ ὑποκείμενοι θρόνοι τῷ πατριάρχῃ Κωνσταντινουπόλεως καὶ ποῖαι ἀρχιεπισκοπαὶ καὶ ἐπισκοπαὶ ἐτιμήθησαν εἰς μητροπόλεις, ὅπως τε οἱ μητροπολῖται γράφουσι πρός τε αὐτὸν τὸν πατριάρχην καὶ πρὸς τοὺς λοιποὺς πατριάρχας, ἔτι τε πρὸς τοὺς βασιλεῖς καὶ πρὸς ἑτέρους τινάς· ἐγράφη δὲ ἡ παροῦσα ἔκθεσις σεπτεβρίῳ α' ἐν ἔτει ,ςᵒ ωᵒ ϟᵒ εᵒ [= 1386], ἰνδ. δεκάτης».—Ἕπεται τῇ τοιαύτῃ ἐκθέσει κεφάλαιον «Περὶ τῶν φορεμάτων ἑκάστου τῶν τε ἀξιωμάτων καὶ τῶν ὀφφικίων, περὶ τῆς ὑπηρεσίας ἑκάστου τῶν ὀφφικίων, περὶ τῆς τῶν δεσποτικῶν ἑορτῶν τάξεως καὶ τῶν κατ' αὐτὰς τελουμένων ἐθίμων, ἐν αἷς διαλαμβάνονται καὶ περὶ τῆς τοῦ μεγάλου δομεστίκου ὑπηρεσίας, τοῦ τε πιγκέρνη, τοῦ δομεστίκου τῆς τραπέζης καὶ τοῦ ἐπὶ τῆς τραπέζης» κτλ., φ. 226-245ᵅ. Ἡ ὀπισθία τοῦ 245-ου φύλλου σελίς ἐστι κεκαλυμμένη λεπτῷ τινι φύλλῳ χαρτίνῳ, ἐπίτηδες ἐκεῖ κολληθέντι, πρὸς κάλυψιν παλαιοῦ τινος σημειώματος· τούτου μέντοι τοῦ σημειώματος ἀνέγνων ἐγὼ τὴν ἀρχήν, οὕτως ἔχουσαν· «† Ὁ παρὼν Ματθέως νόμως ὑπάρχει τῆς ἱερᾶς καὶ σεβασμίας μονῆς τῆς Νέας, τῆς ἐν [Χίῳ] - - - ».

47. Τεῦχος χάρτινον τῆς τεσσαρεσκαιδεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων 305, μήκους 0,275, πλ. 0,20.—Μηναῖα τῶν μηνῶν δεκεμβρίου, ἰανουαρίου καὶ φεβρουαρίου, ὧν τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 32 (0, 204×0,135). Τὰ πρώτιστα τοῦ τεύχους τούτου φύλλα βεβλαμμένα ἐστὶ μεγάλως ἐκ πολλῆς αὐτοῦ, καθὰ φαίνεται, χρήσεως· ἔνδον δὲ τῆς δευτέρας αὐτοῦ πινακίδος ὑπάρχει τὸ σημείωμα τόδε· «† Ἀνακαινίσθη τῶ παρὸν βϊβλίω δϊὰ χειρὸς ἐμοῦ ταπεινοῦ γραμματΐκοῦ Μυχαὴλ ἐκ τῆς Μεγάλης Δίβρεως Μωρέου καὶ ἐκ Πελωπωνύσσου Παλεῶν Πατρῶν· καὶ οἱ ψάλλοντες καὶ ἀναγϊνώσκοντες σύγχωρίσετέ μου δϊὰ τὸν χν'. ὅτι πολλὰ ἦτον δϊασκορπϊσμένον· καὶ ὑπὸ τῶν πολλῶν σφαλμάτων μόλης τὸ ἐσυνήμφερα. † ἀνακαινίσθη ἐπϊέτους ,ζμα'» [=1532-1533].

48. Πανηγυρικὸν ἀκέφαλον, γραφὲν περὶ τὴν ἀρχὴν τῆς πέμπτης καὶ δεκάτης ἑκατονταετηρίδος καὶ συνιστάμενον ἐκ φύλ-

λων ἠριθμημένων ς′ + φμγ′, μήκους 0,285. Τὰ ἐν αὐτῷ περιεχόμενα κείμενα ἐγράφη ὑπὸ δύο καλλιγράφων, τούτων δὲ ὁ εἷς ὠνομάζετο Μιχαήλ· ἔνια δὲ τῶν κειμένων ἐστὶ δίστηλα· πάντων ὅμως τῶν ἐν τῷ πανηγυρικῷ τούτῳ βιβλίῳ κειμένων προυτάχθη πίναξ ἴδιος, ἓξ ἀπαριθμῶν φύλλα. Ἔνδον τῆς πρώτης πινακίδος ὁ δέτης ἔθετο φύλλα δύο, ὧν τὸ πρῶτον ἐμπεριέχει σημείωμά τι τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος· τούτου δὲ ἡ ἀρχὴ ἔχει ὧδε· «Γαβριὴλ Δωροθεΐδης ὁ καὶ πριμμικύριος ἐκ τῆς ἀγέλης κληρικῶν Μεγάλης Ἐκκλησίας λόγους τινὰς ἐκ τοῦ παρόντος βιβλίου πανηγυρικοὺς μεταγράψας καὶ πρὸς τὸ κοινῇ συμφέρον ταῖς κατὰ Μικρὰν Ῥωσσίαν - - - ἐξήγησεν (ἐκ) τῆ(ς) Ἑλλήνων μετήνεγκε φωνῆς εἰς σλοβαΐδα, ἤτοι ῥωσσικὴν διάλεκτον. περὶ ἧς ἐξηγήσεως» κτλ. Καὶ τῆς δευτέρας πινακίδος ἔνδον ὁ δέτης ἔθετο φύλλον ἕν, ἐν ᾧ γέγραπται τὸ σημείωμα τοῦτο· «✝ Εἰς τοῦς χιλίους ἑξακοσίους πενήντα εἰς ταῖς ἡμέραις τοῦ ἐκλαμπρωτάτου αὐθεντὸς κυρίου Ἰω(άνν)ου Βασιλείου βοεβόνδα μηνὶ μαρτίω ἐπουλίθη τὸ ψωμὶ ἤκοσι δράμοια εἰς τὸ Μπάνη καὶ ἔγραψα αὐτοῦ εἰς ἐνθήμισιν». Ἕτερον σημείωμα ἐν τῷ ρμβ′ φύλλῳ· «✝ Ἐτοῦτο τῶ παρὸν πανιγυρικὸν ὑπάρχει τοῦ ἁγίου Σάββα· καὶ εἶναι ἀφηέρωμένον εἰς τὼ μετόχειον τῆς Μπουγδανοίας, εἰς τὸ Γιάσιν».

1. [Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου] συναξάριον ἀκέφαλον τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου. Ἀρχ. «- - πόλεις πολλάς· εἰς Συχὰρ δὲ παραγίνεται» κτλ., φ. α′. Ἐν τῷ ια′ φύλλῳ τὸ «Τέλος τῶν τοῦ Τριῳδίου συναξαρίων ὅλων ὁμοῦ λ».

2. Τοῦ αὐτοῦ «συναξάριον τῶν ἁγίων τριῶν ἱεραρχῶν», Ἰωάννου τοῦ Χρυσοστόμου, Γρηγορίου τοῦ Θεολόγου καὶ Βασιλείου τοῦ μεγάλου. Ἀρχ. «Ἐν ταῖς ἡμέραις τῆς βασιλείας» κτλ., φ. ιβ′.

3. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς ὑπεραγίας Θεοτόκου». Ἀρχ. «Πάλιν χαρᾶς εὐαγγέλια», φ. ιδ′.

4. «Ὁμιλία οη′ ἐκ τοῦ ἁγίου εὐαγγελίου τοῦ κατὰ Ματθαῖον». Ἀρχ. «Καί τινες μωραὶ οὐκ ἔλαβον» κτλ., φ. ιη′.

5. Λόγος εἰς τὴν ἐρώτησιν τοῦ Πιλάτου, ἡνίκα εἶπεν, «Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων»; Ἀρχ. «Ὁρᾷς, ὅτι πρῶτον ἐξετά-

ζεται» κτλ., φ. κδ΄. Ἡ τοῦ λόγου τούτου ἀκολουθία ἐλλείπει τῷ κώδικι, τουτέστι τὸ κε΄ φύλλον.

6. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν τελώνην καὶ τὸν Φαρισαῖον» Ἀρχ. «Οἱ πόρρωθεν τοὺς λειμῶνας» κτλ., φ. κϛ΄-κθ΄. Τὸ κζ΄ φύλλον ἐλλείπει τῷ κώδικι.

7. Τοῦ αὐτοῦ «λόγος εἰς τὸν ἄσωτον υἱόν», οὗ ἡ ἀρχή· «Ἀεὶ μὲν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν» κτλ., φ. λ΄.

8. Ἀνδρέου Κρήτης «λόγος εἰς τὸν ἀνθρώπινον βίον καὶ εἰς τοὺς κοιμηθέντας». Ἀρχ. «Οὐδὲν ὡς ἀληθῶς» κτλ., φ. λϛ΄.

9. Ἰωάννου τοῦ Χρυσοστόμου «περὶ τοῦ μὴ ἐπαισχύνεσθαι ὁμολογεῖν τὸν τίμιον σταυρόν, καὶ ὡς δι' αὐτοῦ ἔσωσεν ἡμᾶς ὁ Χριστὸς καὶ δεῖ ἐν αὐτῷ καυχᾶσθαι, καὶ περὶ ἀρετῆς, καὶ ὅπως ἐφίεται τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ περὶ ἐλεημοσύνης». Ἀρχ. «Τοῦτό ἐστιν, ἀδελφοί, τὸ σημεῖον» κτλ., φ. νϛ΄.

10. Τοῦ αὐτοῦ λόγος ἀκέφαλος εἰς τὴν ξηρανθεῖσαν συκῆν, φ. ξ΄.

11. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν προδοσίαν τοῦ Ἰούδα καὶ εἰς τὴν παράδοσιν τῶν μυστηρίων, καὶ περὶ τοῦ μὴ μνησικακεῖν». Ἀρχ. «Ὀλίγα ἀνάγκη» κτλ., φ. ξζ΄.

12. Κυρίλλου Ἀλεξανδρείας λόγος εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ μεταμόρφωσιν, οὗ ἡ ἀρχή· «Οἱ μὲν εὖ εἰδότες ἀθλεῖν» κτλ., φ. οζ΄.

13. Ἰωάννου τοῦ Δαμασκηνοῦ ἐγκώμιον εἰς τὴν κοίμησιν τῆς Θεοτόκου. Ἀρχ. «Μνήμη δικαίου» κτλ., φ. οθ΄.

14. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν Ἡρωδιάδα καὶ περὶ πονηρῶν γυναικῶν». Ἀρχ. «Πάλιν Ἡρωδιὰς» κτλ., φ. πζ΄.

15. Γερμανοῦ Κωνσταντινουπόλεως «λόγος εἰς τὴν προσκύνησιν τῆς τιμίας ζώνης τῆς ὑπεραγίας Θεοτόκου καὶ εἰς τὴν κατάθεσιν τῶν ἁγίων σπαργάνων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ», φ. ϟβ΄.

16. Γρηγορίου Νύσσης «ἐγκώμιον εἰς τὸν ἅγιον μεγαλομάρτυρα Θεόδωρον· τῷ Σαββάτῳ τῆς πρώτης ἑβδομάδος». Ἀρχ. «Ὑμεῖς ὁ τοῦ Χριστοῦ λαός», φ. ϟζ΄.

17. Ἀνδρέου Κρήτης «λόγος εἰς τὴν ἀποτομὴν τοῦ τιμίου Προδρόμου». Ἀρχ. «Πηδᾷ καὶ γῆρας», φ. ργ΄.

*

18. Ὑπόμνημα εἰς τὸν ἅγιον τοῦ Χριστοῦ ἀπόστολον Θωμᾶν. Ἀρχ. «Πάλαι μὲν τὰς κατὰ γῆν» κτλ., φ. ριδ'.

19. Ἰωάννου τοῦ Δαμασκηνοῦ λόγος εἰς τὴν κοίμησιν τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Ἔθος ἐστὶ τοῖς ἐρωτικῶς» κτλ., φ. ριθ'.

20. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν ὄρχησιν τῆς Ἡρωδιάδος καὶ εἰς τὴν ἀποτομὴν τοῦ ἁγίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου». Ἀρχ. «Ὥσπερ τις ἀνὴρ» κτλ., φ. ρκδ'.

21. «Ἀναστασίου, μοναχοῦ τοῦ ἁγίου ὄρους Σινᾶ, ἑρμηνεία εἰς τὸν ἕκτον ψαλμόν· ἐρρέθη δὲ εἰς τὴν παρείσβασιν τῶν ἁγίων νηστειῶν». Ἀρχ. «Πρέπουσαν τῇ τῶν νηστειῶν» κτλ. φ. ρκη'.

22. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν προδοσίαν τοῦ Ἰούδα». Ἀρχ. «Δεῦρο τοίνυν ἀγαπητέ», φ. ρμ'.

23. Ἀνδρέου Κρήτης λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου, οὗ ἡ ἀρχή· «Ἐπέστη σήμερον», φ. ρμβ'.

24. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν στείρωσιν τῆς Ἐλισάβετ καὶ εἰς τὸν Ζαχαρίαν». Ἀρχ. «Οὐδὲν τοῖς δεσποτικοῖς ἀνυπότακτον», φ. ρνα'.

25. Τοῦ αὐτοῦ «ἐγκώμιον εἰς τοὺς ἁγίους καὶ κορυφαίους τῶν ἀποστόλων Πέτρον καὶ Παῦλον». Ἀρχ. «Οὐρανοῦ καὶ γῆς ἅμιλλαν», φ. ρνγ'.

26. Τοῦ αὐτοῦ «λόγος εἰς τοὺς ἁγίους δώδεκα ἀποστόλους ἐν τῷ ῥοδισμῷ». Ἀρχ. «Εἰκότως καὶ σήμερον», φ. ρνς'.

27. Ἰωάννου τοῦ Δαμασκηνοῦ «ὑπόμνημα εἰς τὸν προφήτην Ἠλίαν.» Ἀρχ. «Ἄρτι μὲν αἱ δώδεκα» κτλ., φ. ρνη'.

28. Μαρτύριον τοῦ ἁγίου Δημητρίου. Ἀρχ. «Εἶχε μὲν τὰ Ῥωμαίων» κτλ., φ. ρξη'.

29. Γερμανοῦ Κωνσταντινουπόλεως «λόγος εἰς τὴν παναγίαν θεοτόκον Μαρίαν, ὅτε ἀπεδόθη ἐν τῷ ναῷ τριετίζουσα ὑπὸ τῶν αὐτῆς γονέων». Ἀρχ. «Ἰδοὺ καὶ πάλιν ἑτέρα» κτλ., φ. ροδ'.

30. Σωφρονίου Ἱεροσολύμων βίος καὶ πολιτεία τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας. Ἀρχ. «Μυστήριον βασιλέως», φ. ροζ'.

31. Κυρίλλου Ἱεροσολύμων λόγος εἰς τὴν ὑπαπαντὴν τοῦ Σωτῆρος, οὗ ἡ ἀρχή· «Χαῖρε σφόδρα θύγατερ», φ. ρϟ'.

32. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸν τετραήμερον Λάζαρον. Ἀρχ. «Ἀγαπητοί, ὥσπερ μήτηρ φιλόστοργος» κτλ, φ. ρϞε'.

33. «Τοῦ αὐτοῦ εἰς τὸν Λάζαρον». Ἀρχ. «Πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα», φ. ρϞζ'.

34. Τοῦ αὐτοῦ «εἰς τὰ Βαΐα». Ἀρχ. «Ἤδη τῆς δεσποτικῆς πανηγύρεως» κτλ., φ. ρϞθ'.

35. Μαρτύριον τοῦ ἁγίου Γεωργίου, οὗ ἡ ἀρχή· «Διοκλητιανὸς ὁ Ῥωμαίων» κτλ., φ. σγ'. Ἐλλείπει τῷ κώδικι τὸ τέλος τούτου τοῦ μαρτυρίου· τοῦτο δὲ τὸ τέλος εὑρίσκετο ἐν τῷ σιδ' φύλλῳ, ὅπερ ἐκ παλαιοῦ ἐξέπεσεν ἀπολεσθέν.

36. Νεκταρίου Κωνσταντινουπόλεως «λόγος τῷ πρώτῳ Σαββάτῳ (κῶδ. πρῶτον σάββατον) τῆς ἁγίας Τεσσαρακοστῆς, περὶ τοῦ θαύματος τῶν κολύβων, τοῦ γενομένου παρὰ τοῦ μεγαλομάρτυρος Θεοδώρου, καὶ περὶ ἐλεημοσύνης». Ἀρχ. «Ὡς πολὺ τὸ πλῆθος», φ. σιε'.

37. Πρόκλου Κωνσταντινουπόλεως λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ Ἰησοῦ Χριστοῦ. Ἀρχ. «Δεῦτε, φιλέορτοι, καὶ σήμερον», φ. σκγ'.

38. Ἀνδρέου Κρήτης λόγος εἰς τὴν κοίμησιν τῆς Θεοτόκου. Ἀρχ. «Ὅσοι τὸ σεπτὸν» κτλ., φ. σκϛ'.

39. Θεοδώρου Στουδίτου ἐγκώμιον εἰς τὸ γενέσιον τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου. Ἀρχ. «Ἀηδόνι τινὶ πολυφώνῳ» κτλ., φ. σλϛ'

40. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν ἀρχὴν τῆς ἰνδίκτου». Ἀρχ. «Θαυμασταὶ τῶν ὀρθοδόξων», φ. σμγ'.

41. Ἀνδρέου Κρήτης «λόγος εἰς τὸ γενέσιον τῆς ὑπεραγίας Θεοτόκου». Ἀρχ. «Ἀρχὴ μὲν ἡμῖν ἑορτῶν», φ. σμε'. Κείμενον κεκολοβωμένον, διὰ τὴν ἐκ παλαιοῦ φύλλων τινῶν ἀπώλειαν (σμη', σμθ', σν', σνβ', σνη', σνθ'), ἣν δείκνυσι χάρτης ἄγραφος, τὸν τόπον αὐτῶν κατέχων.

42. Ἰωάννου τοῦ Χρυσοστόμου «ἐγκώμιον εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν». Ἀρχ. «Τί εἴπω, ἢ τί λαλήσω» κτλ., φ. σξε'.

43. «Μηνὶ τῷ αὐτῷ εἰς τὰς κϛ'. Νικηφόρου μοναχοῦ καὶ πρεσβυτέρου τοῦ Βλεμμίδους, λόγος ἐγκωμιαστικὸς εἰς τὸν ἅγιον

ἀπόστολον τοῦ Χριστοῦ καὶ εὐαγγελιστὴν Ἰωάννην τὸν Θεολόγον». Ἀρχ. «Εὐαγγελιστῇ Θεολόγῳ προσήκει», φ. σξη'.

44. Λέοντος τοῦ Σοφοῦ ἐγκώμιον εἰς τὸν μεγαλομάρτυρα Δημήτριον, οὗ ἡ ἀρχή· «Θαυμαστὸς ὁ Θεὸς» κτλ., φ. σοθ'.

45. Μιχαὴλ συγκέλλου «ἐγκώμιον εἰς τοὺς ἁγίους τοῦ Θεοῦ Ἀρχαγγέλους καὶ Ἀγγέλους καὶ εἰς πάσας τὰς ἐπουρανίους Δυνάμεις». Ἀρχ. «Τὸν μὲν λόγον» κτλ., φ. σπε'. Τὸ τέλος τούτου τοῦ ἐγκωμίου ἐλλείπει τῷ κώδικι, διὰ τὴν ἐκ παλαιοῦ τοῦ τα' φύλλου ἀπώλειαν, ἣν δείκνυσι χάρτης ἄγραφος, τὸν ἐκείνου κατέχων τόπον.

46. Βίος καὶ πολιτεία τοῦ ἁγίου Κωνσταντίνου καὶ τῆς μητρὸς αὐτοῦ Ἑλένης. Ἀρχ. «Τὸν τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου» κτλ., φ. τβ'.

47. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν τελώνην καὶ εἰς τὸν Φαρισαῖον». Ἀρχ. «Τῆς φιλαργυρίας τὸ πάθος», φ. τκγ'.

48. Τοῦ αὐτοῦ «λόγος εἰς τὸν ἄσωτον υἱόν». Ἀρχ. «Πάλιν οἱ κόλποι τοῦ Χριστοῦ», φ. τκζ'.

49. Ἰωάννου τοῦ Δαμασκηνοῦ «λόγος περὶ τῶν ἐν πίστει κεκοιμημένων, καὶ ὅπως αἱ ὑπὲρ αὐτῶν λειτουργίαι καὶ αἱ εὐποιίαι τούτοις ὀνίνησιν». Ἀρχ. «Τὰ τῶν βρωμάτων ἡδέα», φ. τκθ'.

50. «Διήγησις διαλαμβάνουσα περὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων, καὶ ὅπως καὶ δι' ἣν αἰτίαν παρέλαβε τὴν ὀρθοδοξίαν ἐτησίως (κῶδ. αἰτησίως) τελεῖν τῇ πρώτῃ Κυριακῇ τῶν ἁγίων Νηστειῶν ἡ ἁγία τοῦ Θεοῦ Καθολικὴ καὶ Μεγάλη Ἐκκλησία». Ἀρχ. «Τοῦ βασιλέως Θεοφίλου», φ. τλζ'.

51. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος «ἐξ ἀγροῦ αὐτοῦ διὰ χρόνου ἐλθόντος, καὶ περὶ μετανοίας». Ἀρχ. «Ἆρα ἐμέμνησθε ἡμῶν», φ. τμε'.

52. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν προσκύνησιν τοῦ τιμίου σταυροῦ». Ἀρχ. «Τί εἴπω, ἢ τί λαλήσω», φ. τνα'.

53. Τοῦ αὐτοῦ «λόγος τῆς Μεσονηστίμου». Ἀρχ. «Πολλοὺς εἶδον χαίροντας», φ. τνδ'. Ἐλλείπει καὶ τούτῳ τῷ λόγῳ φύλλον ἕν, τὸ τνη'.

54. Τοῦ αὐτοῦ «λόγος περὶ μετανοίας καὶ κατανύξεως, καὶ ὅτι ταχὺς ὁ Θεὸς εἰς σωτηρίαν καὶ βραδὺς εἰς τιμωρίαν· ἐν ᾧ καὶ περὶ τῆς Ῥαὰβ παράδοξος ἱστορία». Ἀρχ. «Πάντοτε μὲν ὁ θεῖος ἀπόστολος», φ. τξδ'.

55. Ἀναστασίου τοῦ Σιναΐτου «λόγος περὶ τῆς ἁγίας συνάξεως». Ἀρχ. «Ἀεὶ μὲν ἡ τοῦ ἁγίου πνεύματος» κτλ., φ. τοε'.

56. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον». Ἀρχ. «Μέγιστόν ἐστι διδασκαλεῖον», φ. τπβ'.

57. Ἀνδρέου Κρήτης «λόγος εἰς τὸν τετραήμερον Λάζαρον». Ἀρχ. «Λάζαρος τὸν παρόντα» κτλ., φ. τπε'.

58. Τοῦ αὐτοῦ «λόγος εἰς τὰ Βαΐα». Ἀρχ. «Χθὲς ἡμᾶς μετὰ τοῦ δεσπότου», φ. τϞε'.

59. Ἰωάννου τοῦ Χρυσοστόμου ὁμιλία περὶ νηστείας, ἧς ἡ ἀρχή· «Διηνύσαμεν λοιπὸν» κτλ., φ. υε'.

60. Τοῦ αὐτοῦ «λόγος εἰς τὰς δέκα παρθένους, καὶ περὶ μετανοίας καὶ ἐλεημοσύνης». Ἀρχ. «Ἆρα οἴδατε πόθεν» κτλ., φ. υιγ'.

61. Τοῦ αὐτοῦ «λόγος εἰς τὰς δέκα παρθένους», οὗ ἡ ἀρχή· «Ὅταν τὸ εὐδαπάνητον», φ. υιθ'.

62. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν πόρνην καὶ εἰς τὸν Φαρισαῖον». Ἀρχ. «Πάντοτε μὲν ὁ Θεὸς» κτλ., φ. υκβ'.

63. «Τοῦ αὐτοῦ ἕτερος λόγος», οὗ ἡ ἀρχή· «Ἡ γυνὴ αὕτη δοκεῖ μὲν εἶναι» κτλ., φ. υκϛ'.

64. Λόγος εἰς τὸ «Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς» κτλ. Ἀρχ. «Βαβαί, πόση πώρωσις», φ. υλ'.

65. Γεωργίου Νικομηδείας λόγος εἰς τὸ Εἱστήκεσαν δὲ παρὰ τῷ σταυρῷ κτλ. Ἀρχ. «Πρὸς ὑψηλοτάτην ἡμῖν ἀναδραμὼν» κτλ., φ. υλδ'.

66. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου. Ἀρχ. «Εἴδετε χθὲς ληστοῦ» κτλ., φ. υμϛ'.

67. Γρηγορίου Ἀντιοχείας «λόγος εἰς τὴν θεόσωμον ταφὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὸν Ἰωσὴφ τὸν ἀπὸ Ἀριμαθείας, καὶ εἰς τὴν τριήμερον ἀνάστασιν». Ἀρχ. «Ἐπαινετὸς καὶ οὗτος τῆς ἐκκλησίας ὁ νόμος», φ. υνα'.

68. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν ἀπιστίαν τοῦ Θωμᾶ». Ἀρχ. «Ἥκω τὸ χρέος ἀποδώσων», φ. υοα'.

69. «Ἰωσὴφ Θεσσαλονίκης τοῦ ποιητοῦ λόγος, ὅτι οὐδὲ μία διαφωνία, οὐδὲ ἐναντίωσις, ἐν τοῖς εὐαγγελισταῖς περὶ τῆς ἀναστάσεως». Ἀρχ. «Καθὼς ἐνεχώρει διεσαφήσαμεν», φ. υοε'.

70. Ἰωάννου τοῦ Χρυσοστόμου λόγος εἰς τὸν παράλυτον, οὗ ἡ ἀρχή· «Εὐλογητὸς ὁ Θεός, ὅτι καθ' ἑκάστην» κτλ., φ. υπδ'.

71. Τοῦ αὐτοῦ «λόγος εἰς τὸ λέγειν τοὺς Ἰουδαίους δαιμόνιον ἔχεις». Ἀρχ. «Ὥσπερ ἡ φαεσφόρος», φ. υϙα'.

72. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν Σαμαρεῖτιν, καὶ περὶ τοῦ τί ἑρμηνεύεται ὁ Μεσσίας». Ἀρχ. «Σήμερον ἡμῖν ὁ Χριστὸς», φ. υϙδ'.

73. Τοῦ αὐτοῦ «λόγος, ὅτε ἐθεράπευσεν ὁ σωτὴρ τὸν ἐκ γενετῆς τυφλόν, καὶ εἰς τὸν Ζακχαῖον, καὶ περὶ κρίσεως καὶ ἐλεημοσύνης». Ἀρχ. «Πολλαὶ καὶ διάφοροι τῶν ἁγίων» κτλ., φύλλ. φ'.

74. Τοῦ αὐτοῦ «λόγος εἰς τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Ἐπειδὴ χάριτι Θεοῦ», φ. φια'.

75. «Λόγος ἱστορικὸς περὶ τῶν πραχθέντων ἐν Νικαίᾳ παρὰ τῆς συνόδου, ἐπὶ καθαιρέσει Ἀρείου· ἐν ᾧ καὶ μερικὴ διήγησις περὶ τοῦ βίου τοῦ ἁγίου Κωνσταντίνου τοῦ μεγάλου βασιλέως». Ἀρχ. «Ἔννα [sic] καὶ δεκάτῳ ἔτ(ε)ι τῆς Διοκλητιανοῦ βασιλείας», φ. φιδ'.

76. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὴν ἁγίαν Πεντηκοστήν». Ἀρχ «Μεγάλα, ἀγαπητοί, καὶ πάντα» κτλ., φ. φκ'.

77. Τοῦ αὐτοῦ «ἐγκώμιον εἰς τοὺς ἁγίους πάντας», οὗ ἡ ἀρχή· «Ἐξ οὗ τὴν ἱερὰν πανήγυριν», φ. φκε'. Τὸ τέλος τούτου τοῦ ἐγκωμίου ὑπάρχει ἐν τῇ δευτέρᾳ σελίδι τοῦ φκθ' φύλλου, ἔνθα καὶ τὸ σημείωμα τόδε· «† Μέμνησο ψυχῆς, ἱερὲ θύτα, κἀμοῦ Μϊχαὴλ τάλανος, τρισαθλίου, τοῦ ἐκ πόθου γράψαντος, τὸν τίδε [sic] τόμον».

78. Ἰωάννου Εὐχαΐτων «λόγος εἰς τοὺς ἁγίους μεγάλους τρεῖς ἱεράρχας, Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν Θεολόγον καὶ

Ἰωάννην τὸν Χρυσόστομον». Ἀρχ. «Πάλιν Ἰωάννης», φ. φλ-φμγ'. Τὸ τέλος τούτου τοῦ λόγου ἐλλείπει τῷ κώδικι.

49. Αἱ θεῖαι λειτουργίαι Ἰωάννου τοῦ Χρυσοστόμου καὶ Βασιλείου τοῦ μεγάλου, ἔτι δὲ ἡ λειτουργία τῶν προηγιασμένων. Τεῦχος τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων χάρτου 50, μήκους 0,273, πλ. 0,195. Τὸ κείμενον τῶν ἱερῶν τούτων λειτουργιῶν ἐκαλλώπισεν ὁ καλλιγράφοις πολλοῖς μεγάλοις κεχρωματισμένοις κεφαλαιώδεσι γράμμασι, πολυτρόπως περικεκοσμημένοις, ὧν τινα παρίστησιν εἰκόνας ἁγίων ἀνδρῶν. Τὸ πρώτιστον φύλλον ἐξ ἀρχῆς ἄγραφον ὑπὸ τοῦ καλλιγράφου μεῖναν ἐμπεριέλαβε κατόπιν ἐν ἑαυτῷ δύο σημειώματα, ἅτινα ἔχει κατὰ λέξιν ὧδε· «ἡ παρὸν λιτουργία ἠπάρχι τοῦ προτοσύγγελου τοῦ παναγίου καὶ ζωοδόχου Τάφου ἐπωνόματι Ἀνανία».—«Τὴν παρὸν λειτουργίαν μᾶς τὴν ἀφιέροσεν ὁ χαντζῆ Μαθιῶς, ὁποῦ τὴν εὕρεν ἀπὸ τὸν ἀδελφόν του τὸν μακαρὶτην τὸν πανοσιώτατον παπὰ κὺρ Ἰσαΐαν» κτλ. Καὶ πάλιν ἕτερον σημείωμα ἐν τῷ ἐσχάτῳ φύλλῳ· «ἡ παρὸν λειτουργίαι εἶναι τοῦ αἰδεσιμωτάτου παπὰ Κωνσταντίνου Κακαριᾶ» κτλ.

50. Αἱ θεῖαι λειτουργίαι Ἰωάννου τοῦ Χρυσοστόμου καὶ Βασιλείου τοῦ μεγάλου, ἔτι δὲ τάξεις χειροτονιῶν, εὐχὴ ἀναγινωσκομένη παρὰ ἀρχιερέως ἐπὶ τοὺς μέλλοντας μεταλαβεῖν, καὶ πίναξ τετράστηλος, περιέχων ἐν ἑαυτῷ ὀνόματά τινα μνημονευτέα ἐν τῇ ἱερᾷ προσκομιδῇ.—Τεῦχος ἐκ φύλλων χάρτου 59, μήκους 0,275, πλ. 0,20, γραφὲν φιλοκάλως ἔτει 1691-ῳ· ἔστι δὲ κεκοσμημένον μεγάλοις τισὶ κεφαλαιώδεσι γράμμασι κεχρωματισμένοις, κεχρυσωμένοις τε καὶ πολυτρόπως περικεκοσμημένοις, ὧν οὐκ ὀλίγα παρίστησιν εἰκόνας ἁγίων. Ἓν δὲ τῶν τοιούτων γραμμάτων, τὸ ἐν τῷ 14-ῳ φύλλῳ Τ, ἔχει ἐν ἑαυτῷ τὰ ὀνόματα ταῦτα· «Δανιὴλ ἀρχιερέως. Ἀβερκίου ἱερομονάχου. Χουρμουζίου πρεσβυτέρου».—Ἕτερον Τ (φ. 37β) ἔχει ἐν ἑαυτῷ τὴν ἐπιγραφὴν ταύτην· «Πολυκάρπου ἀρχιερέως καὶ τῶν γονέων». Ἐν δὲ τῇ ὀπισθίᾳ σελίδι τοῦ 1-ου φύλλου ὑπάρχει πίναξ ὁλοσέλιδος, ἀπεικάζων ἐπὶ χρυσοῦ δαπέδου Ἰωάννην τὸν Χρυσόστομον· ἕτερος δὲ πίναξ

(φ. 20β), ὁλοσέλιδος ὡσαύτως, ἀπεικάζει τὸν μέγαν Βασίλειον, ὑπὸ κουβούκλιον ἱεροῦ θυσιαστηρίου τὴν ἱερὰν ἐπιτελοῦντα λειτουργίαν· γράμμασι δὲ πρασίνοις ὁ πίναξ οὗτος ἔχει κάτω τὴν ἐπιγραφὴν ταύτην· «† Καὶ τόδε σὺν τοῖς ἄλλοις Ἀνανίου, ἀρχιεπισκόπου τῆς Α-ης Ἰουστινιανῆς Ἀχριδῶν, τοῦ Βυζαντίου». Ὁ δὲ τοῦ ὅλου τεύχους καλλιγράφος χρυσοῖς ἔγραψε γράμμασιν ἐν τῇ ὀπισθίᾳ σελίδι τοῦ 45-ου φύλλου τὸ σημείωμα τόδε· «† Ἐγράφη αὕτη ἡ θεία λειτουργία, διὰ χειρὸς ἐμοῦ τοῦ ἀμαθοῦς καὶ κακογράφου, Ἀβερκίου ἱερομονάχου, καὶ προτοσυγγέλου, μροπόλεως, Μελενίκου, ἀρχιερατεύοντος, δὲ ἡμῶν αὐθεντὸς καὶ δεσπότου, κυρίου, κυρίου, Μακαρίου. Ἐπὶ ἔτους, ,αχνα′ ἐν μηνὴ μαρτίῳ κζ′. ἐν τῇ πόλ(ει) Μελενίκου: - - - τανῦν δὲ ὑπάρχει καμοῦ τοῦ ἐλλαχίστου Χουρμουζίου πρεσβυτέρου».

51. Τεῦχος τῆς δυοκαιδεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων βαμβακεροῦ χάρτου 71 (μήκους 0,252, πλ. 0,17), οὗ τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλόν ἐστιν ἐκ γραμμῶν 48 (0,215×0,13). Ἐπὶ τῆς κάτω ᾤας τῆς προσθίας σελίδος τοῦ πρώτου φύλλου γέγραπται τὸ σημείωμα τόδε· «Εἰς χρῆσιν Χρυσάνθου ἱεροδιακόνου» τοῦ Νοταρᾶ.

1. «Τοῦ ἁγίου Ἰουστίνου, φιλοσόφου καὶ μάρτυρος, ἔκθεσις· ὀρθῆς πίστεως ὁμολογία, ἐν ᾗ ἐμπερειείληπται τὰ κεφάλαια ταῦτα», φ. 1-7α. Καταγραφὴ κεφαλαίων κγ′ καὶ τούτων τὸ κείμενον, οὗ ἡ ἀρχή. «Ἱκανῶς τὸν κατὰ Ἰουδαίων» κτλ. Migne τ. 6, σ. 1208.

2. «Τοῦ ἁγίου Βασιλείου Γρηγορίῳ τῷ ἀδελφῷ, ὅτι οὐ ταὐτὸν οὐσία καὶ ὑπόστασις, καὶ τῆς ἁγίας τριάδος θεολογία». Ἀρχ. «Ἐπειδὴ πολλοὶ τὸ κοινὸν» κτλ., φ. 7α-10α. Migne τ. 32, σ. 325.

3. «Ὑπόθεσις εἰς τὰς Παροιμίας». Ἀρχ. «Σοφῶς μὲν ὁ Δαυὶδ καὶ πεπαρρησιασμένως» κτλ., φ. 10α-11α.

4. «Παροιμίαι Σολομῶντος» μετὰ τεμαχίων ἑρμηνευτικῶν ἀποσπασθέντων ἐκ συγγραφῶν Διοδώρου, Βασιλείου, Ἰωάννου τοῦ Χρυσοστόμου, Πολυχρονίου, Εὐαγρίου, Διδύμου, Γεωργίου, Εὐσε-

βίου, Ἀπολλω(νίου?), Ὀλυμπιοδώρου, Εὐσταθίου, Γρηγορίου Θεολόγου καὶ ἑτέρων.

52. Τεῦχος χάρτινον τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος, συνιστάμενον ἐκ φύλλων 54, μήκους 0,278, πλ. 0,114. Τὸ ἐν αὐτῷ κείμενον μονόστηλον ἐκ γραμμῶν 31 (0,20×0,12)· τούτου δὲ ἡ ἐπιγραφὴ διεφθαρμένη· ἀλλ' ἐπὶ τῆς ῥάχεως τοῦ τεύχους ἀναγινώσκεται ἑτέρα ἐπιγραφή, ἔχουσα ὧδε· «Χρυσάνθου σύνταγμα καὶ ἁπλῆ διασάφησις εἰς τὰς Σολομῶντος παροιμίας». Ἀρχ. «Ἀνίσως καὶ θαυμάζωντας ἐκεῖνοι» κτλ.

53. Τεῦχος χάρτινον ἐκ φύλλων 64, μήκους 0,27, πλ. 0,19, γραφὲν περὶ τὴν ἀρχὴν τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος καὶ κείμενον ἐμπεριέχον μονόστηλον ἐκ γραμμῶν 24 (0,175×0,125). —[Νικήτα Σερρῶν ?] ἑρμηνεία τοῦ εἰς τὰ γενέθλια τοῦ Σωτῆρος λόγου καὶ τοῦ εἰς τὴν Πεντηκοστὴν λόγου Γρηγορίου τοῦ Θεολόγου· πρὸ δὲ τῆς ἑρμηνείας ταύτης ὁ τοῦ τεύχους δέτης ἔθετο παντάπασιν ἄγραφα φύλλα πέντε, ὧν τὸ ἔσχατον μόνον ἐμπεριέλαβεν ἔτει 1770-ῷ σημείωμά τι, οὗ ἡ ἀρχή· «Ἐκ τῶν τοῦ διδασκάλου Ἀνανίου. ἀφιερώθη τῷ Παναγίῳ Τάφῳ κατὰ τὸ ,αψο-ον ἔτος» κτλ. Ἕτερα δὲ πέντα φύλλα παντάπασιν ἄγραφα ὑπάρχει μετὰ τὸ κείμενον τοῦ δευτέρου λόγου.

54. Τεῦχος χάρτινον ἐκ φύλλων 182, μήκους 0,268, πλ. 0,195, γραφὲν ἔτει 1750-ῷ· οὗ τὰ πρῶτα ἐννέα φύλλα περιέχει πίνακα λεπτομερῆ τῶν ἐν αὐτῷ τῷ τεύχει εὑρισκομένων κειμένων· καὶ ἐπὶ μὲν τῆς κεφαλίδος τούτου τοῦ πίνακος γέγραπται τὸ «Ἐκ τῶν τῆς μητροπόλεως Νέων Πατρῶν· ,αψνζ-ῳ», μετὰ δὲ τὸ τέλος αὐτοῦ εὑρίσκεται σημείωμά τι, δῆλον ποιοῦν, ὅτι τοῦτο τὸ τεῦχος τῇ 23-ῃ τοῦ μηνὸς ἰουνίου, ἔτους 1792-ου, δῶρον ἔδωκεν «εἰς τὸν Ἅγιον Τάφον» Ἰγνάτιος προηγούμενος Ἰβηρίτης.

1. Ματθαίου νομοκάνων ἐκ κεφαλαίων τμζ', ἡρμηνευμένος εἰς δημώδη φωνήν. Ἀρχ. «Περὶ τοῦ κριτοῦ - - - Πρέπει τὸν κριτὴν» κτλ., φ. 10-95α, ἔνθα τὸ «Τέλος τοῦ θείου καὶ ἀρχιερατικοῦ νομίμου τοῦ σοφωτάτου Ματθαίου».

2. Ἰωάνου Ζωναρᾶ νομοκάνων ἐκ κεφαλαίων σνε', ἡρμηνευμέ-

νος εἰς δημώδη φωνήν. Ἀρχ. «Περὶ τῶν διακόνων καὶ ἱερέων - - - Ὁ εἰκοστὸς κανὼν τῶν ἁγίων ἀποστόλων» κτλ., φ. 95β-182. Ἐν τῇ δευτέρᾳ σελίδι τοῦ 100-οῦ φύλλου γέγραπται τοῦτο· «Τοῦ ταπεινοῦ μητροπολίτου Νέων Πατρῶν Νεοφύτου». Μετὰ δὲ τὸ τέλος τοῦ νομοκάνονος ὑπάρχει τὸ σημείωμα τόδε· «Ἕως τὸ παρὸν ὧδ' εἴληφε τέρμα· διὰ χειρὸς ἐμοῦ Νικολάου ἱερέως ἐκ τῆς θεοφρουρήτου πολιτείας, λεγομένης Μοσχοπόλεως· πλὴν τῶν δων φύλλων ὧνπερ εἰσὶν ἐν τῷ τέλει. ͵αψνφ ἰουνί. 9». Καὶ ἔνδον τῆς δευτέρας πινακίδος ἕτερον σημείωμα, τόδε· «† Ἐκ τῶν τοῦ Παναρέτου Ῥοδίου καὶ Ἁγιωταφίτου πρωτοσυγκέλλου».

55. Μαθηματάριον ἐκ Πάτμου χάρτινον ἐκ φύλλων 396, μήκους 0,268, πλ. 0,185, οὗ φύλλα παντάπασιν ἄγραφα τάδ' ἐστιν: 83 - 85, 196-202, 257, 258, 268-275. Ἐγράφη δὲ τοῦτο ἔτει 1801-ῳ.

1. «[Ἐ]ξηγήσεις τῶν τοῦ Συνεσίου ἐπισκόπου Κυρήνης ἐπιστολῶν, ἑρμηνευθεῖσαι παρὰ τοῦ ἐν διδασκάλοις σοφολογιωτάτου καὶ ἀρίστου ἐν πάσῃ ἑλληνικῇ μαθήσει Δανιὴλ μοναχοῦ Κεραμέως τοῦ Πατμίου ἐν τῇ κατὰ Πάτμον πατριαρχικῇ σχολῇ»[1], φ. 1 - 195.

2. «Εἰς τὸν αὐτοκράτορα Ἀρκάδιον περὶ βασιλείας· λόγος τοῦ Συνεσίου. Ἐξήγησις τοῦ Δανιήλ», φ. 203.

3. [Δανιὴλ Κεραμέως] «ἐγκώμιον τῶν ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριήλ». Ἀρχ. «Χαρὰ εἰς τὸν οὐρανὸν» κτλ., φ. 253.

4. [Τοῦ αὐτοῦ] «ἐξηγήσεις τοῦ σοφωτάτου Πλουτάρχου περὶ τῆς τῶν παίδων ἀγωγῆς», φ. 259.

5. [Δανιὴλ Κεραμέως] «εἰς τὴν ἀνάστασιν τοῦ Χριστοῦ ἐγκώμιον», οὗ ἡ ἀρχή· «Ὦ φαιδροτάτη ἑορτὴ» κτλ., φ. 267β.

6. «Ἐξήγησις τοῦ περὶ ἱερωσύνης λόγου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου, ἑρμηνευθεῖσα παρὰ [τοῦ] ἀρίστου ἐν διδασκάλοις κυρίου Δανιὴλ Πατμίου Κεραμέως κατὰ τὸ ͵αωαον», φ. 279-ον ἄχρι τοῦ 339-ου φύλλου, ἐν ᾧ καὶ τὸ ση-

[1] Περὶ τοῦ βίου καὶ τῶν τέως ἐγνωσμένων πονημάτων αὐτοῦ ὅρα **А. Дмитріевскій, Патмосскіе очерки.** Ἐν Κιέβῳ 1894, σ. 128-140.

μείωμα τόδε· «Ἐγράφη δὲ ὑπὸ χειρὸς τοῦ ἐν ἱεροδιακόνοις - - - Κυπραίου τοῦ ἐκ κώμης Γουμέντζας ἐν ἔτει χιλιοστῷ ὀκτακοσιοστῷ πρώτῳ, πέρας δὲ ληφθεὶς κατὰ τὸν τοῦ μαρτίου μῆνα, ἡμέρᾳ ε'».

56. Τεῦχος χάρτινον ἐκ φύλλων 196, οἷς οὐκ ὀλίγα συνέρραπται καὶ συγκεκόλληται χαρτία.

1. Πολυκάρπου, πατριάρχου Ἱεροσολύμων, ἐπιστολαὶ (1822-1827) πρὸς διαφόρους περὶ τῶν πραγμάτων τοῦ Κοινοῦ τοῦ Παναγίου Τάφου, φ. 1-189.

2. Τεμάχιον ἑτέρου τινὸς κώδικος τῆς ιη' ἑκατ., οὗ ἡ ἀκολουθία κεῖται ἐν τῷ 58-ῳ κώδικι. «Διδασκαλία περὶ τοῦ ἀκραιφνοῦς τρόπου τοῦ διδάσκειν τὸ θεῖον καὶ ἱερὸν Εὐαγγέλιον, ἐκδοθεῖσα παρὰ Γερασίμου Βλάχου τοῦ Κρητός», φ. 190-196.

57. Τετράδια Σωφρονίου Λεσβίου, χρηματίσαντος καμαράση καὶ βιβλιοφύλακος τῆς ἐν τῷ Μετοχίῳ τοῦ Παναγίου Τάφου βιβλιοθήκης.

1. Παράφρασις τοῦ περὶ ἱερωσύνης λόγου Γρηγορίου τοῦ Θεολόγου, γραφεῖσα ὑπὸ τοῦ Σωφρονίου, ἱεροδιακόνου ὄντος, ἐν Χάλκῃ, τῇ 6-ῃ τοῦ μηνὸς αὐγούστου τοῦ 1864-ου ἔτους.

2. «Σημειώσεις εἰς τὸν Φαίδωνα Πλάτωνος, ἢ διάλογον περὶ ψυχῆς», φ. 25.

3. Διονυσίου Κλεόπα «θεολογικὴ ἐγκυκλοπαιδεία». Ἀρχ. «Σύμπας ὁ κόσμος καὶ ὅλον τὸ ἄθροισμα πασῶν τῶν ἐπιστημῶν» κτλ., φ. 67-89. Τὸ ὅλον κείμενον ἀριθμεῖ σελίδας 42, τούτων δ' ἡ ἐσχάτη περιέχει τὸ σημείωμα τόδε· «Μηνὶ ἰανουαρίου ἱσταμένου 5η τῷ ͵αωξε' σωτηρίῳ ἔτει [=1865] ὑπὸ Σωφρονίου ἱεροδ. Λεσβίου ἐν τῇ κατὰ Χάλκην Θεολογικῇ Σχολῇ ἐγράφη».

4. «Λύσις τῶν ἐν τῇ Ἀλγέβρᾳ τοῦ Σ. Π. Μανάρη προβλημάτων, σελ. 50-53», φ. 91-102.

5. Μέρος τῆς ἐκκλησιαστικῆς ἱστορίας Φωτίου Ἀλεξανδρίδου (φ. 106-132), γραφὲν ἐν τῇ Θεολογικῇ Σχολῇ τῶν Ἱεροσολύμων ὑπὸ Σωφρονίου ἱεροδιακόνου ἔτει 1869-ῳ, μηνὶ δεκεμβρίῳ.

6. «Ἐγκυκλοπαιδεία τῆς Θεολογίας», φ. 134-161. Μετὰ τὸ

πέρας αὐτῆς ὑπάρχει τὸ σημείωμα τοῦτο· «Ἐκ τοῦ γερμανικοῦ μετεφράσθη ὑπὸ τοῦ διδασκάλου κ. Λυκούργου. Ἔγραφον ἐν τῇ Θεολογικῇ Σχολῇ τῶν Ἱεροσολύμων τοῦ Τιμίου Σταυροῦ. Σωφρόνιος ἱεροδ. Λέσβιος αὐγούστου 7. 1869». Ἀρχ. «Καθόλου ἐγκυκλοπαιδείαν ὀνομάζουσιν οἱ νεώτεροι» κτλ.

7. «Ἱστορία τῆς φιλοσοφίας ὑπὸ Φωτίου ἀρχιδιακόνου καὶ σχολάρχου τῆς Θ. Σχολῆς τῶν Ἱεροσολύμων». Ἀρχ. «Φιλοσοφία ἐστὶ σκέψις ἢ μετὰ σκέψεως παρατήρησις τῶν πραγμάτων» κτλ., φ. 166-226.

8. Ἀδήλου «λογική», ἧς ἡ ἀρχή· «Τελειώσαντες τὰς ψυχολογικὰς ἐρεύνας» κτλ., φ. 234-258.

9. «Γραμματικὴ Ὁμήρου». Ἀρχ. «Ὀλίγας μόνον εἰδήσεις παρέδωκεν» κτλ., φ. 266-276.

10. «Βίος τοῦ Πλάτωνος». Ἀρχ. «Ὁ εὐφυέστατος τῶν μαθητῶν», φ. 277.

11. «Μεθερμηνεία τοῦ ἑκατονταετηρικοῦ ᾄσματος (carminis secularis) τοῦ Ὁρατίου εἰς τὴν ἑλλάδα φωνήν, κατὰ τὸ μέτρον τοῦ πρωτοτύπου, ἤτοι τὸ σαπφικόν, ὑπὸ Περικλέους Γρηγοριάδου»[1], φ. 283.

12. Στίχοι «εἰς τὰς τελευταίας στιγμὰς τοῦ πλοίου Ἀρκαδίου», ὧν ἡ ἀρχή· «Ἐξ ἑδρῶν τῶν κατωτάτω ἡ Μεσόγειος μυκᾶται» κτλ., φ. 285α.

13. «Ὠδὴ εἰς πολιτικοὺς στίχους εἰς τὸν μακαριώτατον πατριάρχην Ἱεροσολύμων Κύριλλον τὸν β'». Ἀρχ. «Ὦ τί γλυκεῖα καὶ θεία μέθη» κτλ., φ. 285β.

14. Ἐπιγράμματα τρία, α') εἰς Κωνσταντῖνον Οἰκονόμον [2], β') εἰς Ἀθανάσιον μητροπολίτην Λιβύης, γ') εἰς Πίνδαρον, φ. 286β.

15. «Ἰαμβικὰ εἰς τὸν σεβαστὸν ἅγιον Φιλαδελφείας κύριον

[1] Οὗτος συνέγραψε καὶ βιβλίον, οὗ ἡ ἐπιγραφή· «Ἡ ἱερὰ μονὴ τοῦ Σινᾶ κατα την τοπογραφικήν, ἱστορικὴν καὶ διοικητικὴν αὐτῆς ἔποψιν ὑπὸ Περικλέους Γρηγοριάδου, καθηγητοῦ ἐν τῇ Θεολογικῇ Σχολῇ τοῦ Κοινοῦ τοῦ Παναγίου Τάφου. Ἐν Ἱεροσολύμοις 1875».

[2] Κ. Σάθα, Νεοελληνικὴ φιλολογία, σ. 731-736.

Ἰωάσαφ», φ. 287^{α}. Εἰς ἕτερον Ἰωάσαφ καὶ «ἐπιτύμβιον εἰς τὸν ἀοίδιμον Ἀθανάσιον τὸν Λιβύης».

16. Ἡρῳελεγεῖα· α') εἰς τὴν εἰκόνα τῆς μονῆς τοῦ Τιμίου Σταυροῦ· β') εἰς τὴν ἐν τῇ νήσῳ Κρήτῃ μονὴν Ἀρκαδίου· γ') ἐπιτύμβιον εἰς τοὺς ὑπὲρ τῆς Κρήτης ἀνδρείως πεσόντας· δ') εἰς τὸν Οἰδίποδα τύραννον τοῦ Σοφοκλέους· ε') εἰς τὸν Γάλλον καλολόγον Βιλλεμαῖνον, φ. 287^{β}.

17. Ἀναπαιστικὸν εἰς Θεόκλητον Φαρμακίδην [1], φ. 288.

18. «Εὐαγγέλιον τῆς τοῦ Χριστοῦ γεννήσεως διὰ στίχων ἡρωϊκῶν ἑξαμέτρων, ποιηθὲν ἐν Ἱερουσαλὴμ ὑπὸ χ: Κ. Κοκκινάκη τῇ 23 δεκεμβρίου 1841», φ. 292.

19. «Τὸ Οὔσης ὀψίας διὰ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων, ποιηθὲν ὑπὸ χ: Κ. Κοκκινάκη τῇ 15 ἀπριλίου 1840 ἐν Ταταούλοις», φ. 293^{β}.

20. «Ἐν τῇ εὐτυχεστάτῃ περιστάσει, ἐν ᾗ ἡ Α. Β. Μ. Φραγκῖσκος Ἰωσὴφ Α', αὐτοκράτωρ τῆς Αὐστρίας, βασιλεὺς τῆς Οὐγγαρίας Βοεμίας καὶ Ἱερουσαλὴμ κτλ. κτλ. ἠξίωσε νὰ ἐπισκεφθῇ τὸ τυπογραφεῖον τῶν φραγκισκανῶν πατέρων τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, ἐν τῇ 10 νοεμβρίου 1869 (καθ' ἡμᾶς 30 ὀκτωβρίου)—ᾠδή:—Σαλήμ, χαῖρε καὶ αἱ ὡραῖαι ὁδοί σου» κτλ., φ. 296.

58. Συλλογὴ χαρτίνων τετραδίων. α') Σελίδες 98. «1813 μαΐου 27 ἐχειρογραφήθη τὸ παρὸν ἰδόχειρόν μου βιβλίον παρ' ἐμοῦ τοῦ ταπεινοῦ Γιάγκου Δημητρίου Λαμπίκη, περιέχον μέσα εὐχὰς εἰς τὴν ὑπεραγίαν δέσποιναν Θεοτόκον καὶ μετάληψιν, καὶ κάποια ἄλλα χρειαζόμενα εἰς κάθε χριστιανόν».—β') Φύλλα 130, γραφέντα περὶ τὸ τέλος τῆς ιη' καὶ περὶ τὴν ἀρχὴν τῆς ιθ' ἑκατ. Τετράδια μαθηματαρίων, ὧν ἓν ἦν Παναγιώτου Ἀριτζιανοῦ [2].—γ') Φύλλα 6, ὧν τὸ ἔσχατον ἐμπεριέχει τοῦ μεγάλου πρωτοσυγκέλλου τῆς Μεγάλης Ἐκκλησίας προσφώνησιν, ἐν τῷ ναῷ γενο-

[1] Κ. Σάθα, Νεοελληνικὴ φιλολογία, σ. 744-746.

[2] Οὗτος ἦν ἴσως ὁ καλούμενος Μάντζαρις. Μ. Παρανίκα σχεδίασμα περὶ τῆς ἐν τῷ ἑλληνικῷ ἔθνει καταστάσεως τῶν γραμμάτων κτλ. Ἐν Κωνσταντινουπόλει 1867, σ. 113.

μένην τοῦ ἀρμενικοῦ πατριαρχείου τῇ 9-η μηνὸς ἀπριλίου τοῦ 1873-ου ἔτους. —δ') Συνεσίου ἐπιστολαὶ μετὰ ψυχαγωγικῆς αὐτῶν ἑρμηνείας. Φύλλα 75, γραφέντα περὶ τὸ τέλος τῆς ιη' ἑκατ.—ε') «Ἐξηγήσεις Δημοσθένους», τουτέστι παραφράσεις ἐνίων αὐτοῦ λόγων, ὧν εἰς ἀκολουθεῖται τῷ σημειώματι τῷδε· «Τέλος ͵αωις' [=1816] ἰουνίου ιδ' ἐν Χίῳ, ὑπὸ διδασκάλου κυρίου Βαρδαλάχου»[2]. ἕτερον δέ τινα τῶν λόγων τούτων «ἰδιώτισε κὺρ Παΐσιος Καραπάνος».—ς') «Ἐξηγήσεις τοῦ Θουκυδίδου», γενόμεναι περὶ τὴν ἀρχὴν τῆς ιθ' ἑκατονταετηρίδος. Φύλλα 56.—ζ') Ἐξηγήσεις τῶν ἀπομνημονευμάτων Ξενοφῶντος», γενόμεναι ὡσαύτως τῇ ιθ' ἑκατ. Φύλλα 16.—η') «Ἰσοκράτους περὶ τῶν δοκησισόφων»· παράφρασις τῆς ιη' ἑκατονταετηρίδος. Φύλλα 2.—θ') Ἀγαπητοῦ διακόνου ἔκθεσις κεφαλαίων παραινετικῶν πρὸς τὸν αὐτοκράτορα Ἰουστινιανόν· παράφρασις, γενομένη περὶ τὴν ἀρχὴν τῆς ιθ' ἑκατ. Φύλλα 8.—ι') Ἰσοκράτους πρὸς Δημόνικον καὶ Νικοκλέα. Φύλλα 20.—ια') Πλουτάρχου περὶ πολυπραγμοσύνης καὶ περὶ ἀδολεσχίας· παράφρασις. Φύλλα 21.—ιβ') «Ἐξήγησις τοῦ περὶ ἀδολεσχίας λόγου τοῦ Πλουτάρχου». Ὑπὸ τὸ τέλος αὐτοῦ· «͵αωιε' [=1815] μαρτίου α' ἐν τῇ Πάτμῳ· ἐξηγήθη δὲ ὁ παρὼν (λόγος) ὑπό τινος μαθητοῦ Σταυρῆ, μαθητευομένου ἐν τῇ σχολῇ τῇ κατὰ τὸν Κουρούτζεσμεν». Ἕπεται Εὐστρατίου διδασκάλου παράφρασις τοῦ προοιμίου τῆς Ἡρωδιανοῦ ἱστορίας. Φύλλα 12, ὧν τὰ τρία ἔσχατα παντάπασιν ἄγραφα.—ιγ') Παράφρασις τοῦ περὶ τοῦ στεφάνου λόγου τοῦ Δημοσθένους. Φύλλα 40.—ιδ') Δημοσθένους κατὰ Κτησιφῶντος ὑπὲρ τοῦ στεφάνου. Κείμενον ἁπλοῦν, ἀντιγραφὲν ἔτει 1816-ῳ ἐν τῇ νήσῳ Χίῳ ὑπό τινος Παναγιώτου. Φύλλα 43.—ιε') Ἐκ τῶν ἀπομνημονευμάτων Ξενοφῶντος· παράφρασις. Φύλλα 38.—ις') Ἀδήλου «περὶ ποιήσεως». Ἀρχ. «Κεφάλαιον πρῶτον περὶ ἀρχῆς καὶ προόδου τῆς ποιήσεως καὶ περὶ στιχουργίας. Ἀφ' οὗ ἐτελείωσα τὰς παρατηρήσεις μου περὶ τῶν διαφόρων

[1] Περὶ Κωνσταντίου τοῦ Βαρδαλάχου ὅρα Κ. Σάθα νεοελλ. φιλολογ. σ. 691, καὶ τὸ βιβλίον, οὗ ἡ ἐπιγραφή· «Πρώτη πεντηκονταετηρὶς τῆς ἐν Ὀδησσῷ Ἑλληνεμπορικῆς Σχολῆς 1817-1867. Ἐν Ὀδησσῷ 1872, σ. 27, 29, 130-137, 142-151, 163-169.

εἰδῶν τῆς πεζῆς συνθέσεως» κτλ. Φύλλα 54—ιζ') Ἀκολουθία τῆς ἐν τῷ 56-ῳ κώδικι ῥητορικῆς Γερασίμου Βλάχου. Φύλλα 11, ὧν τὰ πέντε ἔσχατα παντάπασιν ἄγραφα.—ιη') Νεοελληνικῆς τινος συγγραφῆς τεμάχιον ἐκ 13 φύλλων.—ιθ') Ἀδήλου «ζητήματα εἰς τὴν φιλοσοφίαν καὶ τὴν ἱερὰν ἑρμηνευτικήν». Ὑπὸ τὸ πέρας αὐτῶν· «͵αωξθ' [=1869] ἰουνίου 16· ἔγραφον ἐν τῇ Θεολογικῇ Σχολῇ τῶν Ἱεροσολύμων. Σωφρόνιος ἱεροδ. Λέσβιος».—κ') «Ἐξήγησις τῆς Χρηστοηθείας Ἀντωνίου τοῦ Βυζαντίου· τοῦ διδασκάλου κυρίου Κυρίλλου». Φύλλα 4.—κα') Σωφρονίου Λεσβίου «περιγραφὴ τῆς πόλεως Βάρνης», συνταχθεῖσα ἐν τῇ Θεολογικῇ Σχολῇ τῶν Ἱεροσολύμων (20 ἰαν. 1867). Φύλλα 4.—λβ') «Σαλλουστίου ἐξηγήσεις». Φύλλα 8.

59. Τεῦχος ἐκ φύλλων χάρτου 58 (μήκους 0,245, πλ. 0,158), ὧν ἕξ ἐστι παντάπασιν ἄγραφα (φ. 8, 40, 41 καὶ 56-58).—«Χρυσάνθου, πατριάρχου Ἱεροσολύμων, ἀντίρρησις εἰς τὰ ὅσα κακῶς, ψευδῶς καὶ ἀναρμόστως λέγονται εἰς τὸ Προσκυνητάριον τοῦ ἁγίου ὄρους Σινᾶ». Κατὰ τὸν πρόλογον αὐτῆς ἡ τοιαύτη ἀντίρρησις ἐγράφη «ἐν Κωνσταντινουπόλει. 1731. κατὰ μῆνα ἰαννουάριον». Ἐν τῇ προσθίᾳ σελίδι τοῦ 4-ου φύλλου γέγραπται «ἐπίγραμμα διὰ στίχων ἡρωελεγείων πρὸς τὸν μακαριώτατον πατριάρχην τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, τὸν σοφώτατον τῆς παρούσης βίβλου συγγραφέα»· ἔστι δὲ τούτου ποιητὴς «Παρθένιος ἱερομόναχος Γερένης ὁ ἐξ Ἀθηνῶν». Ὅρα Δ. Γ. Καμπουρόγλου, Μνημεῖα τῆς ἱστορίας τῶν Ἀθηναίων, τ. II, σ. 232-233.

60. Τεῦχος ἐκ φύλλων χάρτου 36 (μήκους 0,248, πλ. 0,165), γραφὲν περὶ τὸ τέλος τῆς πεντεκαιδεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος· μία δ' ἑκάστη τῶν σελίδων αὐτοῦ κείμενον ἔχει μονόστηλον ἐκ γραμμῶν 29 (0,183 × 0,115).—«Κλεομήδους κυκλικῆς θεωρίας πρῶτον» (φ. 1-17) καὶ «δεύτερον» βιβλίον (φ. 19 κέ) μετὰ σχολίων ἐν ταῖς ᾤαις τῶν σελίδων. Ἀρχ. «Τοῦ κόσμου πολλαχῶς λεγομένου» κτλ. Ἐκδ. Ziegler, σ. 3.

61. Τεῦχος τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων

χάρτου 40 (0,227×0,16), οὗ μία τῶν σελίδων ἑκάστη γραμμὰς ἀριθμεῖ 19.—Ἀσματικὴ ἀκολουθία εἰς τὸν ὅσιον Σάβαν, ἧς ποιητὴς Ἰωσὴφ Σαβαΐτης. Ἀρχ. «Ψάλλομεν στιχηρὰ προσόμοια· ἦχος α'. Τῶν οὐρανίων ταγμάτων. Ὁ ὑπερόπτης τῶν κάτω» κτλ. Μετὰ τοὺς κανόνας· «1814 Σαμουὴλ ἱερομονάχου Κυπραίου». Πρὸς τῷ τέλει τοῦ τεύχους ἐγράφη περὶ τὴν ἀρχὴν τῆς ιθ' ἑκατ. μεγαλυνάριά τινα πρὸς τὸν ὅσιον Σάβαν, ὧν ποιητὴς Νεόφυτος ἱερομόναχος.

62. Τεῦχος χάρτινον (μήκους 0,237, πλ 0,167) ἐκ σελίδων 132, γραφὲν περὶ τὸ τέλος τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος.—Ἀδήλου «Γραμματικὴ περὶ σχηματισμοῦ τῶν στοιχείων καὶ συλλαβῶν καὶ τῶν ὀκτὼ μερῶν τοῦ λόγου». Ἀρχ. «Ὅρος. Γραμματική ἐστι τέχνη περὶ τὸν προφορικὸν λόγον καταγινομένη» κτλ. Πρὸ τῆς ἀρχῆς τῆς τοιαύτης γραμματικῆς ἐπὶ σελίδος τινὸς ἐξ ἀρχῆς ἀγράφου προσετέθη τὸ σημείωμα τόδε· «Ὁ Ἱεροσολύμων Ἀθανάσιος. Τῆς τοῦ Παναγίου Τάφου βιβλιοθήκης, ὁ δ' ἀφελόμενος ἐπάρατος».

63. Τεῦχος χάρτινον τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων 63 (μήκους 0,225, πλ. 0,165), ὧν μία ἑκάστη τῶν σελίδων ἀριθμεῖ γραμμὰς 28 (0,18×0,115).—α') [Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου ἑρμηνεία εἰς τοὺς ἀναβαθμοὺς τῆς ὀκτωήχου] ἀνεπίγραφος. Ἀρχ. «Δεῖ μὲν οὖν πρὸ τῆς ἐξηγήσεως» κτλ.—β') «Νικηφόρου τοῦ Ξανθοπούλου ἐξήγησις εἰς Τὴν τιμιωτέραν, πρὸς τὸν ἀπὸ τῆς Ὁδηγητρίας ἱερομόναχον καὶ ἐκκλησιάρχην κύριον Νεόφυτον». Ἀρχ. «Οὔτε σε τοῦ θάρρους ἐπαινεῖν ἔχω» κτλ.

64. Τεῦχος χάρτινον τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων 111 (μήκ. 0,233, πλ. 0,175).—α') Φύλλ. 2 κέ. Ἀδήλου «Εἰς ἅπασαν τὴν λογικὴν Ἀριστοτέλους μέθοδον προδιοίκησις, ἤτοι εἰσαγωγική· τί ἐστιν λογική, καὶ περὶ τῶν τριῶν τοῦ νοὸς ἐνεργειῶν». Ἀρχ. «[Ἡ] περὶ τὴν φιλοσοφίαν σπουδὴ» κτλ.—β') Φύλλ. 33α «Τεχνολογία τῆς μικρᾶς λογικῆς», ἧς ἡ ἀρχή· «Δ(ιδάσκαλος). Τί ἐστι λογική; Μ(αθητής). Λογική ἐστιν

ἕξις ἐπίκτητος» κτλ.—γ') Φύλλ. 45α. Ἀνεπίγραφος εἰσαγωγὴ εἰς τὴν λογικήν. Ἀρχ. «Ἥντινα νῦν φιλοσοφίαν λέγομεν, σοφίαν οἱ ἀρχαῖοι προσηγόρευον, γνῶσιν δηλαδὴ θείων καὶ ἀνθρωπίνων πραγμάτων» κτλ.—δ') Φύλλ. 50α. «Σύνοψις τῆς λογικῆς», ἧς ἡ ἀρχή· «Ἡ λογικὴ ὁρίζεται ἐπιστήμη ἢ τέχνη» κτλ.—ε') Φύλλ. 61-104. «Συνεσίου εἰς τὸν αὐτοκράτορα Ἀρκάδιον περὶ βασιλείας». Κείμενον καὶ τούτου ψυχαγωγικὴ ἑρμηνεία.—ς') Ἑπτὰ φύλλα ἄγραφα, ὧν τινα περιέχει ἐν ἑαυτοῖς σποραδικά τινα γνωμικὰ καὶ ἀποφθέγματα.

65. «Κανὼν ἐγκωμιαστικὸς εἰς τὴν κοίμησιν τῆς ὑπεραγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ποιηθεὶς παρὰ Προκοπίου ἱεροδιδασκάλου Πελοπον(ν)ησίου καὶ καθηγητοῦ χρηματίζοντος τῆς ἐν Ἱερουσαλὴμ σχολῆς, προτροπῇ τοῦ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου κυρίου Ἀβραμίου· ὅστις ψάλλεται ἐν τῷ τῆς ἁγίας Γεθσιμανῆς σεβασμίῳ ναῷ τῆς Θεοτόκου κατὰ τὴν τάξιν τοῦ κανόνος τοῦ Μεγάλου Σαββάτου, παρισταμένων τῶν ἱερέων κύκλῳ τοῦ ἐπιταφίου τῆς Θεοτόκου, ἐν ᾧ ὑπάρχει τεθειμένη ἡ εἰκὼν τῆς κοιμήσεως αὐτῆς, ἐνδεδυμένων τὴν ἱερατικὴν στολήν. Ὁ οὖν πρῶτος τῶν ἱερέων λαβὼν θυμιατήριον, μετὰ τὴν ἐνάτην ᾠδήν, θυμιᾷ σταυροειδῶς τὸν ἐπιτάφιον καὶ ἄρχεται ψάλλειν τὸ πρῶτον τροπάριον εἰς ἦχον πλάγιον α': —Ἡ ἁγνὴ ἐν τάφῳ κατετέθη» κτλ. Τεῦχος ἐκ φύλλων χάρτου 22, μήκους 0,23, πλ. 0,165· οὗ τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν εἴκοσι (0,165 × 0,11)· ἐγράφη δὲ ἔτει 1783-ῳ. Καὶ ἐν μὲν τῷ 1-ῳ φύλλῳ κεῖται τὸ πρωτότυπον ἐπιστολῆς Προκοπίου τοῦ Πελοποννησίου πρὸς Νεόφυτον μητροπολίτην Ναζαρὲτ (κβ' ἰουλ. ,αψπγ') περὶ τῆς συντάξεως τοῦ ἐν τῷ τεύχει τούτῳ κανόνος· ἐν δὲ τῷ 20-ῷ φύλλῳ γέγραπται τὸ σημείωμα τοῦτο· «Τὸ παρὸν βιβλίον ἐγράφθη παρ' ἐμοῦ Παησίου ἱερομονάχου τοῦ Ἁγίῳ ὁρίτῃ, ὁ ἐκ τῆς Βουλγαρίας· καὶ παρακαλῶ ἐὰν εὕρηται ἀνορθογραφίας, ἢ καὶ ἄλλα σφάλματα, μή με μέμφεσθε, ὅτι εἰμὶ ἀμέτοχος τῆς ἑλληνικῆς φράσεως, ἀλλὰ διορθώσατεταις συγχωρήσατέ μοι, καὶ εὔχεσθε ὑπὲρ ἐμοῦ. ἐν ἔτοι, ,αψπγ'. ἐν

μηνί, ἰουλίου. κβ'». Μετὰ τὸ τοιοῦτον σημείωμα τὸ τεῦχος ἔχει φύλλα δύο, ἅπερ ἦν ἐξ ἀρχῆς ἄγραφα· τούτων δὲ τὸ πρῶτον ἐμπεριέλαβεν ὕστερον τὸ σημείωμα τόδε· «Τὸ παρὸν βιβλίον συνετέθη καὶ ἀφιερώθη τῷ τῆς ἁγίας Γεθσιμανῆς σεβασμίῳ ναῷ τῆς ὑπεραγίας Θεοτόκου παρὰ Προκοπίου ἱεροδιδασκάλου Πελοποννησίου, ἐν τῷ ,αψπγ-ῳ ἐν μηνὶ ἰουλίου, ἡγουμενεύοντος Ἀγαπίου τοῦ ἐξ Ἀθηνῶν». Ὅρα Ἱεροσολ. Βιβλιοθ. III, σ 179-181.

66. Τεῦχος χάρτινον ἐκ φύλλων 60 (μήκους 0,222, πλ. 0,175), πίναξι τριάκοντα καὶ τέσσαρσι κεκοσμημένον, γραφὲν δὲ ἔτει 1844-ῳ. — Ἀντίγραφον ἐντύπου βιβλίου, οὗ ἡ ἐπιγραφή· «Σιωνίτης ὑμνῳδός. Μελῳδικοὶ καὶ θεῖοι ὕμνοι, οὓς ψάλλομεν περιερχόμενοι καὶ λιτανεύοντες εἰς τὰ ἐντὸς τοῦ πανιέρου ναοῦ τῆς Ἀναστάσεως πανσέβαστα προσκυνήματα καὶ θεῖα παρεκκλήσια». Μετὰ τὸ κείμενον· «Ἐτελειώθη εἰς τούς: ,αωμβ'. ςϟθ υεϟ₰λώ 'ϟθπσ'ηλχ ξλνθυλχ. Ηθψλκθϟςϟνλ̃χ» = «διὰ χειρὸς Ἰακώβου μοναχοῦ Βατοπαιδινοῦ». Ἡ ἐσχάτη τοῦ βιβλίου τούτου τύπωσις ἐπεγράφη οὕτω· «Σιωνίτης ὑμνωδός, ἢ μελῳδικοὶ καὶ θεῖοι ὕμνοι, οὓς ψάλλομεν περιερχόμενοι καὶ λιτανεύοντες εἰς τὰ ἐντὸς τοῦ πανιέρου Ναοῦ τῆς Ἀναστάσεως πανσέβαστα Προσκυνήματα καὶ θεῖα Παρεκκλήσια. Ἐκδίδοται ἤδη τὸ τέταρτον ἐγκρίσει τοῦ μακαριωτάτου καὶ θειοτάτου πατριάρχου τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης κυρίου κυρίου Νικοδήμου τοῦ Α'. Ἐν Ἱεροσολύμοις ἐκ τοῦ τυπογραφείου τοῦ Π. Τάφου. 1883». 8-ον, σελίδες 120.

67. Τεῦχος ἐκ φύλλων χάρτου 70 (μήκους 0,225, πλ. 0,165), ὧν τριάκοντα καὶ τρία μόνα γεγραμμένα, καὶ ταῦτα περὶ τὴν ἀρχὴν τῆς ιθ' ἑκατονταετηρίδος. Ἐπιγραφή· «Λειτουργίαι τῶν ἁγίων πατέρων. Ἰακώβου τοῦ ἀποστόλου καὶ ἀδελφοθέου. Βασιλείου τοῦ μεγάλου. Ἰωάννου τοῦ Χρυσοστόμου. Περὶ τῶν ἐν τῇ λειτουργίᾳ. Διονυσίου τοῦ Ἀρεοπαγίτου. Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος. Γρηγορίου τοῦ Νύσσης ἀρχιεπισκόπου. Ἰωάννου τοῦ Δαμασκηνοῦ. Νικολάου τοῦ Μεθώνης ἐπισκόπου. Σαμωνᾶ τοῦ Γάζης ἀρχιεπισκόπου. Μάρκου τοῦ Ἐφέσου ἀρχιεπισκόπου. Γερμανοῦ τοῦ

Κωνσταντινουπόλεως ἀρχιεπισκόπου. Πρόκλου Κωνσταντινουπόλεως ἀρχιεπισκόπου». Ἐν τῷ οὕτως ἐπιγεγραμμένῳ βιβλίῳ περιέχεται μόνον ἡ τοῦ Ἰακώβου λειτουργία.

68. Τεῦχος χάρτινον τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων 122 μήκους 0,225, πλ. 0,16. Τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 32 (0,164×0,11). Σελίδες ἄγραφοι: 41-44. Ἐν τῇ κάτω ὤᾳ τῆς 1-ης σελίδος· «Ἐκ τῶν τοῦ Παναγίου Τάφου».

1. «Μάρκου Ἐφέσου τοῦ Εὐγενικοῦ κεφάλαια συλλογιστικὰ τῆς αἱρέσεως τῶν Ἀκινδυνιαστῶν, περὶ διακρίσεως θείας οὐσίας καὶ ἐνεργείας». Ἀρχ. «α'. Εἰ καὶ ταὐτὸν ἐπὶ Θεοῦ οὐσία» κτλ., σελ. 1. Fabricii-Harles, Bibl. graeca, τ. XI, σ. 676.

2. «Τοῦ αὐτοῦ Μάρκου τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν, ἀρχιεπισκόπου Ἐφέσου, τοῦ νέου θεολόγου, συλλογιστικὰ κεφάλαια πρὸς Λατίνους». Ἀρχ. «Τὸ πνεῦμα τὸ ἅγιον ἐκ πατρὸς καὶ υἱοῦ» κτλ., σελ. 40. Περὶ τῶν ἐκδόσεων τῶν κεφαλαίων τούτων ὅρα Ἀ. Δημητρακοπούλου Ὀρθόδοξον Ἑλλάδα, σ. 100.

3. «Ἰδιόμελον ἦχος β'» πρὸς τὸν ἅγιον Μᾶρκον τὸν Εὐγενικόν. Ἀρχ. «Τῶν ὀρθοδόξων τὸ σύστημα | εὐσεβῶς μακαρίζει σε, | Μᾶρκε τῆς Ἐφέσου πρόεδρε, | ὡς εὐσεβείας στῦλον στερεὸν» κτλ., σ. 40.

4. Μελετίου τοῦ Πηγᾶ διάλογος μετὰ προλόγου, ἀφιερώσεως καὶ ὀκταστίχου ἐπιγράμματος, σ. 45-244. Ὁ πρόλογος ἐγράφη ἔτει 1583-ῳ, τὸ δ' ἐπίγραμμα ἄρχεται ὧδε· «Οἷς πόθος ἀργαλέης ὑπαλύξαι ἄρκεα ὕλας» κτλ. Περὶ τῆς πρώτης ἐκδόσεως τούτου τοῦ διαλόγου ὅρα É. Legrand, Bibliographie hellénique, ou description raisonnée des ouvrages publiés en grec par des Grecs au XV^e et XVI^e siècles. Paris 1885, τ. II, σ. 115-119.

69. Τεῦχος χάρτινον ἐκ φύλλων 17 (0,227×0,167), γραφὲν περὶ τὸ τέλος τῆς ἑπτακαιδεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος. — «Χρυσάνθου, πρεσβυτέρου καὶ ἀρχιμανδρίτου τοῦ ἀποστολικοῦ τῶν Ἱεροσολύμων ἁγιωτάτου πατριαρχικοῦ θρόνου, περὶ ἀφορισμοῦ, κατ' αἴτησιν τοῦ γαληνο-

τάτου καὶ θεοσεβεστάτου αὐθέντου καὶ ἡγεμόνος πάσης Οὐγγροβλαχίας κυρίου κυρίου Ἰωάννου Κωνσταντίνου Βασσαράβα Πραγκοβάνου βοεβόδα». Ἀρχ. «Τὸ ἀφορίζω, ἐξ οὗ καὶ ὁ ἀφορισμός, εἶναι φωνὴ ὁμώνυμος» κτλ. Ἱεροσολ. Βιβλιοθ., τ. I, σ. 301.

70. Αὐτόγραφον Χρυσάνθου τοῦ Νοταρᾶ, γενόμενον περὶ τὸ τέλος τῆς ἑπτακαιδεκάτης ἢ περὶ τὴν ἀρχὴν τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος, καὶ συνιστάμενον ἐκ φύλλων χάρτου 80, μήκους 0,225, πλ. 0,17.—α΄) «Διδασκαλία ὠφέλιμος περὶ μετανοίας καὶ ἐξομολογήσεως, συλλεχθεῖσα παρὰ Χρυσάνθου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου τοῦ ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ θρόνου τῶν Ἱεροσολύμων».—β΄) «Ἰχνογραφία τῶν παλαιῶν καὶ ἀρχαίων θείων ναῶν».—γ΄) «Τρόπος εὔκολος καὶ κατανυκτικὸς διὰ νὰ ἀποκτηθῇ ἡ συχνὴ τοῦ Θεοῦ παρουσία, ὄχι μόνον ὅταν ἡ ψυχὴ προσεύχεται, ἀλλὰ καὶ πάντοτε, εἰς κάθε καιρὸν καὶ εἰς κάθε τόπον· περιέχων συντομωτάτους κανόνας διὰ νὰ κάμῃ τινὰς προσευχὴν νοεράν, διὰ νὰ μὴ χάνῃ ἀνωφελῶς τὸν καιρόν, διὰ νὰ ἀναβαίνῃ πρὸς τὸν Θεόν, διὰ νὰ ἀνάπτεται ἀείποτε πλέον εἰς τὸν θεῖον αὐτοῦ πόθον, καὶ κατ' ὀλίγον νὰ ἑνώνεται μὲ εὐκολίαν διὰ μέσου τῶν χριστιανικῶν ἀρετῶν, κατὰ τὴν ἐνδοτέραν συλλογὴν θεωρίαν καὶ ἕνωσιν, μὲ τὸν Θεόν. Συνταγμάτιον πρὸς πάντας χρήσιμον καὶ ἐπωφελές».

71. Τεῦχος χάρτινον ἐκ φύλλων 41 (μήκους 0,227, πλ. 0,17), γραφὲν περὶ τὴν ἀρχὴν τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος· οὗ τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 29 (0,18×0,145).—[Νικολάου Μαυροκορδάτου] «Φιλοθέου πάρεργα». Ἀρχ. «Τμῆμα α΄. Ἡ μὲν παροιμία σιωπῆς» κτλ. Τέλος· «ἀηδίας γενόμενα πρόξενα, τὸ σιωπᾶν ἡμῖν ἐπιτάξει». Ὅρα É. Legrand, Généalogie des Maurocordato de Constantinople. Paris 1886, σ. 15. Ἀ. Π.-Βρετοῦ, Νεοελληνικὴ φιλολογία. Ἐν Ἀθήναις 1857, τ. II, σ. 112-113.

72. Τεῦχος χάρτινον ἐκ φύλλων 80 (μήκους 0,225, πλ. 0,165), γραφέν, ὡς φαίνεται, ἔτει 1812-ῳ. Φύλλα ἄγραφα: 1-10, 44-49 καὶ 56-80.

1. «Διήγησις συνοπτικὴ διὰ στίχων πολιτικῶν ὁμοιοκαταλήκτων περὶ τῆς ἐν Ἱερουσαλὴμ ἐπισυμβάσης πυρκαϊᾶς τοῦ πανιέρου ναοῦ τῆς Ἀναστάσεως τοῦ Κυρίου ἡμῶν, καὶ περὶ τῶν ἐν τῇ βασιλευούσῃ τῶν πόλεων γενομένων μουραφάδων μετὰ τῶν Ἀρμενίων, καὶ περὶ τῶν ἐν Ἱερουσαλὴμ διαφόρων ἀποστασιῶν καὶ καταδρομῶν· συντεθεῖσα παρά τινος ζηλωτοῦ Ἁγιοταφίτου [= Προκοπίου Ναζιανζηνοῦ τοῦ Ἀράβογλου], χάριν τοῦ ὀρθοδόξου γένους τῶν Ῥωμαίων· προσετέθη δὲ ἐν τῷ τέλει καὶ ἐγκώμιον εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ, καὶ εἰς τοὺς ταύτης πατριάρχας, καὶ εἰς πάντας τοὺς λοιποὺς εὐσεβεῖς συνδρομητὰς τῶν ἐκεῖσε παναγίων προσκυνημάτων». Ἀρχ. «Θέλω καὶ εἰς τοὺς μετ' ἐμὲ» κτλ., φ. 11-43. Ἀ. Π.-Κεραμέως, Ἀνάλεκτα ἱεροσολυμιτικῆς σταχυολογίας, τ. III, σ. 334-381.

2. «Προσφώνημα συνοπτικὸν τοῦ ἐκθέτου πρὸς τοὺς φιλαναγνώστας τῆς ὅλης δραματικῆς ἱστορίας· οὗ ἡ ἀκροστιχίς: Προκόπιος Καισαρειεὺς τῷ εὐσεβούντων γένει | πυρκαϊὰν ναοῦ Χριστοῦ στιχουργικῶς ὑφαίνει», φ. 50-53. Ἀνάλεκτα, τ. III, σ. 381-386.

3. «Προφητεία τοῦ μακαρίτου ἱερομονάχου Ἀγαθαγγέλου» ἀτελής, φ. 54.

73. Τεῦχος χάρτινον ἐκ φύλλων 120 (μήκους 0,23, πλ. 0,17), οὗτινος ἐγράφη μόνα τὰ πρῶτα 84 φύλλα ἔτει 1781-ῳ.— «Στοιχεῖα τῆς ἀριθμητικῆς». Ἀρχ. «Κεφ. α'. Περὶ ἀρχῶν τῆς ἀριθμητικῆς. Ὁρισμὸς α'. Α-ον § Ἀριθμητική ἐστιν ἡ τῶν ἀριθμῶν ἐπιστήμη» κτλ. Φύλλ. 85 «Τέλος τῆς τοῦ Ὀλφίου ἀριθμητικῆς κατὰ τὸ ͵αψπᾶ-ον: Τί ὁρᾷς με φίλε; Ἰακώβου καὶ τῶν συνήθων κτῆμα πέλω».

74. Τεῦχος χάρτινον ἐκ φύλλων 3 + 95 (μήκ. 0,227, πλ. 0,17), γραφὲν ἔτει 1720-ῷ. Τὰ τρία πρώτιστα φύλλα, μὴ ἠριθμημένα σὺν τοῖς λοιποῖς τοῦ τεύχους φύλλοις, περιέχει ἐν ἑαυτοῖς συλλογὴν ἀποφθεγμάτων τινῶν.

1. «Λιβανίου ἐπιστολιμαῖοι χαρακτῆρες». Ἀρχ. «Ὁ μὲν ἐπισταλτικὸς χαρακτὴρ ποικίλος» κτλ., φ. 1. Ἐν τῇ ἄνω ὤᾳ τούτου τοῦ φύλλου γέγραπται τὸ «Καὶ τόδε Παρθενίου ἀδελφιδοῦς [sic] Μακαρίου».

2. «Γνωμικών, μύθων καὶ παροιμιῶν συλλογὴ ἐκ τῶν τοῦ Πλουτάρχου καὶ ἀποφθεγμάτων», φ. 10.

3. Θεοφίλου Κορυδαλλέως περὶ ἐπιστολικῶν τύπων μετὰ ψυχαγωγικῆς ἑρμηνείας, μετὰ τῆς πρὸς Παχώμιον τὸν Δοξαρᾶν προσφωνήσεως τοῦ πρώτου τῶν τύπων τούτων ἐκδότου Νικοδήμου τοῦ Μεταξᾶ, καὶ μετὰ πασῶν τῶν ἐν τῇ ἐκδόσει αὐτοῦ ἐπιστολῶν (φ. 17-95). Περὶ δὲ τῆς ἐκδόσεως αὐτοῦ, γενομένης ἔτει 1625-ῳ, ὅρα É. Legrand, Bibliographie hellénique (XVII s.). Paris 1894, τ. I, σ. 194-200. Ἐν τῷ 95-ῳ φύλλῳ σημείωμα· «Τετέλεσται παρ' ἐμοῦ Παρθενίου Μακαρίου καὶ νοταρίου τῆς βασιλικῆς μονῆς Πάτμου ἡμέρᾳ Πέμπτῃ, ὥρᾳ η', κατὰ τὸ ‚αψκ-ὸν ἔτος».

75. Συνερραμμένα χάρτινα τετράδια καὶ φύλλα διάφορα, προερχόμενα, καθὰ φαίνεται, ἐκ τῶν ἀρχείων τοῦ πάλαι ποτὲ ἐν Βουκουρεστίῳ ὑπάρχοντος Ἑλληνικοῦ Μουσείου.

α') «Λεξικὸν ἑλληνορωμαϊκὸν πρόχειρον». Ἀρχ. «Περὶ θείων πραγμάτων. Ὁ θεός. Ὁ θεός, ὁ ὤν» κτλ. Φύλλα 4, γραφέντα περὶ τὴν ἀρχὴν τῆς ιθ' ἑκατονταετηρίδος.

β') Διάλογος ἑλληνορρωμαϊκὸς ἀνεπίγραφος. Ἀρχ. «Δ(ιδάσκαλος). Ἔλα ἕνας ἐδῶ ἀπὸ τοὺς μαθητάς. Δ(ιδάσκαλος). Ἄγε εἷς ἐνταῦθα τῶν μαθητῶν». Φύλλα 4, γραφέντα περὶ τὴν ἀρχὴν τῆς ιθ' ἑκατονταετηρίδος.

γ') Θέματα, προγυμνάσματα ῥητορικὰ καὶ τύποι ἐπιστολῶν. Φύλλα 47, γραφέντα περὶ τὴν ἀρχὴν τῆς ιθ' ἑκατ.

δ') «Ἐγκώμιον Γεωργίου Κορεσσίου» (ὑπὸ Ἀλεξάνδρου τοῦ Τυρναβίτου). Ἀρχ. «Τοὺς μὲν ἄλλους, τούς τ' ἐπὶ θεολογίᾳ καὶ φιλοσοφίᾳ» κτλ. Φύλλα δύο τῆς ιη' ἑκατ. Αὐτόγραφον· περὶ δὲ τοῦ Ἀλεξάνδρου Τυρναβίτου ὅρα Κ. Σάθα, Νεοελ. φιλολογ. σ. 480. Μεσ. βιβλιοθ. III, σ. 182 καὶ 504. Μ. Χαμουδοπούλου, Μνημείων γραπτῶν συναγωγὴ ἐν τῇ Ἐκκλησιαστικῇ Ἀληθείᾳ, τ. I, σ. 3.

ε') «Ἕτερον Ἰωάννου τοῦ Χρυσοστόμου». Φύλλα 2.

ς') «Ἐγκώμιον Γρηγορίου τοῦ Θεολόγου». Φύλλα 4.

ζ') Γυμνάσματα λογικῆς τοῦ ἐν Βουκουρεστίῳ μαθητοῦ (7 φεβρ. 1748) Νικολάου τοῦ Ἀλβανοχωρίτου.

η') «Διήγημα τὸ κατὰ τὴν ἀποτομὴν τοῦ Προδρόμου» καὶ «Ἀνασκευή, ὅτι οὐ καλῶς εἴρηται τὸ Γάμος γὰρ ἀνθρώποισιν εὐκταῖον κακόν». Γυμνάσματα τοῦ ἐν Βουκουρεστίῳ μαθητοῦ Γεωργίου Δρυστρίου. Φύλλα 3 τῆς ιη' ἑκατ.

θ') Ἕτερα γυμνάσματα τοῦ μαθητοῦ Δημητρίου Ἀλβανιτοχωρίτου. Φύλλα 5 τῆς ιη' ἑκατ.

ι') «Διήγησις πάνυ συνοπτικὴ τοῦ σοφωτάτου καὶ ἀοιδίμου διδασκάλου κυρίου Μακαρίου τοῦ ἐκ Πάτμου νήσου, συντεθεῖσα παρὰ τοῦ σοφολογιωτάτου διδασκάλου τῆς ἐν Βουκουρεστίῳ φιλοσοφικῆς σχολῆς κυρίου κυρίου Ἀλεξάνδρου τοῦ ἐκ Τυρνάβου τῆς Θετταλίας». Ἀρχ. «Ἐπεί με ἡ φιλόμουσος αὐτῆς καὶ φιλάρετος διάθεσις» κτλ. Ἀπευθύνεται πρὸς τὸν Οὐγκροβλαχίας ἡγεμόνα Κωνσταντῖνον Νικολάου Μαυροκορδᾶτον. Φύλλα 8 τῆς ιη' ἑκατ. Κ. Σάθα, Μεσαιων. βιβλιοθήκη, τ. III, σ. 504-514.

ια') Τριάκοντα φύλλα διαφόρων γραφιμάτων τῆς ιη' ἑκατοντ. Διδασκάλων τῆς ἐν Βουκουρεστίῳ σχολῆς ἀνώνυμοι ἐγκωμιαστικοὶ λόγοι μετὰ πολυχρονισμῶν. α') Εἰς ἀνώνυμον. β') Εἰς ἀνώνυμον. γ') Εἰς τὸν Οὐγκροβλαχίας ἡγεμόνα Μιχαὴλ Ῥακοβίτζαν καὶ τὴν αὐτοῦ σύζυγον Ἄνναν. δ') Εἰς τὸν Οὐγκροβλαχίας ἡγεμόνα Κωνσταντῖνον Νικόλαον Μαυροκορδᾶτον καὶ τὴν αὐτοῦ σύζυγον. ε') Εἰς τὸν Οὐγκροβλαχίας μητροπολίτην Νεόφυτον. ς') Εἰς τὸν ἄρχοντα μέγαν πιττάρην καὶ μέγαν ποκόβνικον Κωνσταντῖνον. ζ') Εἰς ἀνώνυμον ἡγεμόνα Οὐγκροβλαχίας ἐγκωμιαστικὸς λόγος καὶ ἐπίγραμμα ἐξ εἴκοσι στίχων εἰς τὸν ἡγεμόνα Κωνσταντῖνον Νικολάου Μαυροκορδᾶτον. η') Εἰς τὸν Οὐγκροβλαχίας ἡγεμόνα Γρηγόριον Γκίκαν. θ') Εἰς τὸν Οὐγκροβλαχίας μητροπολίτην Νεόφυτον. ι') Εἰς τὸν ἡγεμόνα Μιχαὴλ Ῥακοβίτζαν. ια') Εἰς ἡγεμόνας ἀνωνύμους λόγοι δύο.

ιβ') Ἀντίγραφον ἀνωνύμου τινὸς χρυσοβούλλου λόγου, δι' οὗ ὁρίζεται τῷ Οὐγκροβλαχίας μητροπολίτῃ Νεοφύτῳ, «ἵνα ἐπισκέπτηται» τὰ ἐν Βουκουρεστίῳ σχολεῖα καὶ περὶ τῶν χρῃζομένων αὐ-

τοῖς φροντίζῃ καὶ ἑνὶ τῶν διδασκάλων αὐτῶν ἑκάστῳ παρέχῃ τὸν προσήκοντα μισθόν. «Τοῦ πρώτου διδασκάλου τῶν ἐπιστημονικῶν μαθημάτων τοῦ Ἑλληνικοῦ Μουσείου» ὁ κατὰ μῆνα μισθὸς γρόσια 45, τοῦ δευτέρου διδασκάλου «τῶν γραμματικῶν μαθημάτων τοῦ αὐτοῦ» Μουσείου γρόσια 20, «τοῦ δὲ σλαβονικοῦ σχολείου τῶν δύο διδασκάλων ὁ μισθός ἐστι γρόσια - -». Φύλλον ἓν τῆς ιη' ἑκατονταετηρίδος. Περὶ τοῦ μητροπολίτου Νεφύτου ὅρα É. Legrand, Ephémérides Daces. Paris 1881, σ. II, 43, 103, 168, 169, 176. Κ. Σάθα, Μεσαιων. βιβλιοθ. τ. III, σ. 103.

ιγ') «Σχόλιά τινα ἢ σημειώματα τῆς τοῦ Εὐγενίου (τοῦ Βουλγάρεως) λογικῆς». Φύλλα 22 τῆς ιη' ἑκατ.

ιδ') Θέματα σχολειακά. Φύλλα 14 τῆς ιη' ἑκατ.

ιε') Διαθήκη τῆς μητρὸς Ἰωάννου Σερβάνου Καντακουζηνοῦ βοεβόδα, γραφεῖσα τῇ 18-η νοεμβρίου μηνὸς τοῦ 1681-ου ἔτους.

ις') Ψυχαγωγικὴ ἑρμηνεία ᾀσματικοῦ τινος ἰαμβικοῦ κανόνος. Φύλλα 8 τῆς ιζ' ἑκατονταετηρίδος.

76. Τεῦχος χάρτινον ἐκ φύλλων 138 (μήκους 0,227, πλ. 0,17), γραφὲν περὶ τὸ τέλος τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος.

1. Τριγωνομετρία Φιλίππου Λανσβεργίου, φ. 1.
2. «Περὶ τῆς ἀστρονομικῆς χρονολογίας». Ἀρχ. «Ἡ χρονολογία ὁλικῶς ἐκλαμβανομένη» κτλ., φ. 87.
3. «Περὶ τῆς πρακτικῆς ἀριθμητικῆς τῆς διὰ χαρακτήρων λατινικῶν ἐν χρήσει οὔσης κατὰ τοὺς συγχρόνους». Ἀρχ. «Ἡ ἀριθμητικὴ ἐπιστήμη ἐστὶ» κτλ., φ. 98.
4. «Εἰσαγωγὴ εἰς τὰς μαθηματικὰς ἐπιστήμας». Ἀρχ. «Ἡ μαθηματικὴ μέρος ἐστὶ τῆς φιλοσοφικῆς ἐγκυκλοπαιδείας», φ. 127.

77. Τεῦχος χάρτινον ἐκ φύλλων 80 (μήκους 0,222, πλ. 0,165), γραφὲν περὶ τὸ τέλος τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος. Τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 21 ἢ 22 (0,17×0,105). — «Χριστὸς ἡγείσθω. Νεκταρίου Ἱεροσολύμων πατριάρχου, ἐνοχλουμένου παρὰ τῶν ἐν Ἱεροσολύμοις Φρατόρων, πρὸς ἅσπερ προτείνουσι διδάσκοντες καινὰς διδασκαλίας». Ἀρχ. «Τὰς τῶν μεγίστων πολέμων ἀφορμὰς» κτλ.

78. Συνερραμμένα χάρτινα τετράδια μήκους 0,226, πλάτους 0,175.

α') Φύλλα 16 τῆς ιζ' ἑκατ., ὧν τὰ δύο ἔσχατα παντάπασιν ἄγραφα. Ἰατροσόφιον. Ἀρχ. «Ῥωμαϊκά. λεξικόν. καὶ τοῦρκικα. Τὴν ἀλαγκά. χαυλιτζάν. κανέλα. ταρτζήν. πόδιον» κτλ.

β'). Ἀδήλου «λόγος εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου». Ἀρχ. «Ἀνκαλὰ καὶ ὑψηλῆς καὶ βαθυτάτης» κτλ. Φύλλα 8 τῆς ιζ' ἑκατονταετηρίδος.

γ') Ἀδήλου τινὸς λόγος εἰς τὸ β' κεφάλαιον τοῦ κατὰ Λουκᾶν εὐαγγελίου. Ἀρχ. «Ἐφιλονείκα μὲ τὸν βασιλέα τῶν Αἰθιόπων» κτλ. Φύλλα 10 τῆς ιη' ἑκατ. Τὸ 1-ον φύλλον ἄγραφον.

δ') «Συντάγματα πολλῶν ἁγίων ἀποστόλων, προφητῶν καὶ φιλοσόφων, πάνυ ὡραῖα περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος· δεῖ γὰρ ἔχειν ὁ ὀρθόδοξος χριστιανὸς τῆς Ἀνατολικῆς Ἐκκλησίας. Λατίνου καὶ ὀρθοδόξου διάλεξις. Νῦν ἄρχεται Λατῖνος:— Λατῖνος. Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς» κτλ. Φύλλα 8, ὧν τὸ ἔσχατον ἄγραφον. Ἐν τῷ 7-ῳ φύλλῳ· «Τὸ παρὸν πόνημα ὑπάρχει τοῦ κὺρ Σάββα ὁποῦ πραγματεύεται εἰς τὸ Ἰαροσλάβη· καὶ ἐγράφη ἐξ ἡμῶν ἐν κάστρῳ Λιοβίῳ τῆς Πολλωνίας· εἰς τοὺς αψλᾱω [=1731] ἰουλίου γ̄η. Γερμανοῦ ἀρχιμανδρίτου».

ε') «Σημειώματα εἰς τὴν ε' Κυριακὴν τῶν Νηστειῶν». Ἀρχ. «Ἕνα πρᾶγμα τὸ ὁποῖον μήτε τὸ θέλομεν» κτλ. Φύλλα 24 τῆς ιη' ἑκατονταετηρίδος.

79. Τεῦχος χάρτινον τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων 84 (μήκους 0,24, πλ. 0,16), ὧν τὰ πρώτιστα πέντε καὶ τὰ ἔσχατα δέκα καὶ τέσσαρα παντάπασιν ἄγραφα. Τὸ κείμενον τῶν γεγραμμένων φύλλων μονόστηλον ἐκ γραμμῶν 21 (0,17 × 0,11). Ἡ ἐπιγραφὴ δι' ἑτέρας ἢ τῆς τοῦ καλλιγράφου χειρός.— «Τοῦ σοφωτάτου Μαξίμου τοῦ Πελοποννησίου πόνημα κατὰ Λατίνων εἰς ἁπλῆν διάλεκτον διὰ τοὺς ἁπλουστέρους, ἵνα ἔχῃ ἕκαστος πρόχειρον τὴν πρὸς ἐκείνους διάλεξιν καὶ μὴ ἀπατᾶται (κῶδ. ἀπατάσθαι) εἰς τὰ ἀνωφελῆ πράγματα ἐκείνων». Ἀρχ. «Πρέπον καὶ δίκαιον κατὰ ἀλήθειαν» κτλ. Ἀντὶ τοῦ ὀνόματος «Μαξίμου

τοῦ Πελοποννησίου» πρότερον ἦν γεγραμμένον τὸ ὄνομα «Κορυδαλέως κὺρ Θεοφίλου». Τὴν ἐπιγραφὴν τῆς πρώτης ἐκδόσεως ὅρα παρὰ τῷ É. Legrand, Bibliographie hellénique ou description raisonnée des ouvrages publiés par des Grecs au XVII-e siècle, τ. II, σ. 475-478.

80. Τεῦχος χάρτινον ἐκ φύλλων 78 (μήκους 0,221, πλ. 0,175), γραφὲν ἐν τῇ πόλει Μόσχᾳ ὑπερμεσούσης τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος.—Ἀρχιερατικόν, οὗ ἡ ἐπιγραφή· «Ἑρμηνεία τῆς θείας λειτουργίας, ὅταν ἱερουργῇ ὁ ἀρχιερεὺς κατὰ τὴν τάξιν καὶ συνήθειαν τῆς Ἀνατολικῆς Ἐκκλησίας:—Ἀθανάσιος ὁ πρώην οἰκουμενικὸς πατριάρχης ἐν Μοσκοβίᾳ οὗτος ἀξιωθεὶς (ἐξωσθεὶς?) κατὰ τὸ ,αχνζ' ἔτος τὸ σωτήριον, μηνὶ ἰουλλίῳ». Ἀρχ. «Ὅταν μέλλει ὁ ἀρχιερεὺς» κτλ. Ἦν δὲ τοῦτο τὸ τεῦχος «Χρυσάνθου ἱερομονάχου» τοῦ Νοταρᾶ. Ἐν ταῖς ἐν αὐτῷ λειτουργικαῖς ἐκφωνήσεσιν ὁ λειτουργῶν δέεται καὶ ὑπὲρ «τοῦ εὐσεβεστάτου καὶ θεοστέπτου ἁγίου βασιλέως ἡμῶν ἐλέῳ Θεοῦ Ἀλεξίου Μιχαηλοβίτζη» καὶ ὑπὲρ τῆς αὐτοῦ συζύγου Μαρίας· αὐτὸς δὲ ὁ λειτουργῶν κοινωνῶν τῶν μυστηρίων λέγει· «μεταλαμβάνω ἐγὼ Νίκων ἀρχιερεὺς καὶ ἀνάξιος δοῦλος» κτλ.

81. Τεῦχος χάρτινον τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων 115 (μήκους 0,221, πλ. 0,165), οὗ τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 25 (0,158×0,102).—Ἀδήλου τινὸς λογύδρια ν' εἰς περικοπάς τινας τοῦ Ἰώβ. Ἀρχ. «Λογίδιον α' - - ὢ πόσον ὑπερήδιστον καὶ γλυκὺ» κτλ.

82. Τεῦχος χάρτινον ἐκ φύλλων 31 (μήκους 0,22, πλάτους 0,163), φιλοκάλως γραφὲν ἔτει 1705-φ. Τὸ πρῶτον φύλλον ἐμπεριέχει «Ἐπιγράμματα ἡρωελεγεῖα πρὸς τὸν ἐκλαμπρότατον καὶ σοφώτατον υἱέα τοῦ εὐσεβεστάτου, γαληνοτάτου καὶ φιλοχρίστου ἡγεμόνος πάσης Οὐγκροβλαχίας κυρίου κυρίου Ἰωάννου Κωνσταντίνου Μασσαράμπα βοεβόδα τοῦ Πραγκοβάνου, κύριον κύριον Στέφανον». Ἐπιγράμματα 5, τέσσαρα μὲν αὐτῷ τούτῳ τῷ Στεφάνῳ, τὸ δὲ πέμπτον ὡς ἀπὸ τῆς βίβλου τοῖς ἐντευξομένοις αὐτῇ. ἐποιήθη δὲ ταῦτα πάντα ὑπὸ τοῦ «τῆς ἐν Κωνσταντινουπόλει ἀκαδη-

μίας φοιτητοῦ Χουρμουζίου Μάρκου Βυζαντίου». Ἐν τῷ 2-ῳ καὶ ἐν τῷ 3-ῳ φύλλῳ περιέχεται γράμμα τοῦ αὐτοῦ Χουρμουζίου ἀφιερωτικόν, ὅπερ ἐγράφη μεσοῦντος σκιρροφοριῶνος τοῦ 1705-ου ἔτους· ἀπὸ δὲ τοῦ 4-ου μέχρι τοῦ 31-ου φύλλου κεῖται συγγραφή, ἧς ἡ ἐπιγραφή· «Τοῦ ἀοιδίμου βασιλέως κυρίου Λέοντος τοῦ σοφοῦ περὶ ἀρετῶν, γεωργίας καὶ μοναχικῆς κυβερνήσεως, πολιτείας τε καὶ διαγωγῆς καὶ ὑποτυπώσεως κεφάλαια ἑκατὸν ἐνενήκοντα· ἠξιώθη δὲ ταῦτα ἐκθέσθαι παρὰ τοῦ ὁσιωτάτου καὶ ἀρεταῖς κεκοσμημένου κυρίου κυρίου Εὐθυμίου, ἡγουμένου τῆς βασιλικῆς αὐτοῦ μονῆς, διὰ τὸ πολλάκις ὠφεληθῆναι τὸν τοιοῦτον ἐκ τῆς ὁμιλίας τοῦ βασιλέως, καθὼς περιέχει καὶ παραδηλοῖ καὶ τῶν κεφαλαίων αὐτὸ τὸ προοίμιον· καλοῦνται δὲ τὰ τοιαῦτα κεφάλαια Οἰακιστικὴ Ψυχῶν Ὑποτύπωσις». Ἀρχ. «Ἰσχυρὸν ἡ φιλία βιάζεσθαι» κτλ. Μετὰ τὸ τέλος τοῦ κειμένου γέγραπται διὰ χειρὸς Χρυσάνθου, μητροπολίτου Καισαρείας Παλαιστίνης, τὸ σημείωμα τόδε· «Εὕρηνται καὶ ἄλλαι παραινέσεις τοῦ σοφοῦ τούτου ἄνακτος πρὸς μοναχοὺς ἔτι ἀνέκδοτοι, ἃς ἴδον ἐν τῇ βιβλιοθήκῃ τῆς ἀριστοκρατίας τῶν Ἐνετῶν, τό γ' ἐμοὶ μέντοι δοκοῦν αὗται πάντων ὑπερέχουσιν, ἃς μετιτέον εἶναι συνεχῶς παραινῶ ὅτῳ σωτηρίας φροντίς».

83. Τρία χάρτινα βιβλιάρια (μήκους 0,116, πλ. 0,155), γραφέντα ὑπὸ τριῶν διαφόρων ἀντιγραφέων τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος.

α') «Ἀνωνύμου εἰσαγωγὴ ἀνατομικὴ» ἐκ κεφαλαίων ξ'. Ἀρχ. «Τῶν ἐν τοῖς ἀνθρώποις μορίων τὰ μέν ἐστιν ἀσύνθετα» κτλ. Φύλλα 36, ὧν τὰ δύο ἔσχατα παντάπασιν ἄγραφα. Ὅρα Ἀνωνύμου εἰσαγ. ἀνατομικὴν cum interpret. Petri Laurembergi - - ed. J. Morsi. Lugduni-Batavorum 1618, σ. 1 κέ.

β') «Ῥούφου Ἐφεσίου περὶ τῶν ἐν κύστει καὶ νεφροῖς παθῶν, περὶ τῶν φαρμάκων καθαρτικῶν, περὶ θέσεως καὶ ὀνομασίας τῶν τοῦ ἀνθρώπου μορίων». Ἀντίγραφον ἐξ ἐντύπου τινὸς βιβλίου. Σελίδες 92 καὶ φύλλα ἕξ, ἐν οἷς ὑπάρχουσιν «αἱ διάφοροι γραφαί», «corrigenda» καὶ πίναξ ἀλφαβητικὸς τῶν παρὰ τῷ Ῥούφῳ πραγμάτων.

γ') Φαρμακοποιητικαὶ συνταγαί. Ἀρχ. «Χείλη κατεσχισμένα. Τὴν τζίπαν τῶν ὀστέων τῶν φοινίκων ἐπικόλλησον» κτλ. Φύλλα 8.

84. Τεῦχος χάρτινον ἀκέφαλόν τε καὶ ἀτελὲς ἐκ φύλλων 54 (μήκους 0,218, πλ. 0,17), γραφὲν περὶ τὴν ἀρχὴν τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος. Ἀρχ. «Ἐρώτησις οθ'. Τί τὸ ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε» κτλ.

85. Τεῦχος χάρτινον τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων 107 (μήκους 0,215, πλ. 0,16), ὧν μία τῶν σελίδων ἑκάστη κείμενον ἔχει μονόστηλον ἐκ γραμμῶν 24 (0,15×0,112).— [Μάρκου Πορφυροπούλου τοῦ Κυπρίου] «Παράφρασις τοῦ θ' βιβλίου τῶν ἱστοριῶν τοῦ Προκοπίου τοῦ Καισαρέως ἰλλουστρίου, ἐπιγραφομένου Ἀνέκδοτα· τὸ ὁποῖον περιέχει ψόγους καὶ κατηγορίας τοῦ βασιλέως Ἰουστινιανοῦ καὶ τῆς γυναικὸς αὐτοῦ Θεοδώρας, ὁμοῦ καὶ τοῦ Βελισσαρίου τοῦ στρατηγοῦ τοῦ καὶ πατρικίου καὶ τῆς γυναικὸς αὐτοῦ Ἀντωνίνης». Τῆς παραφράσεως ταύτης ἡγεῖται πρόλογος (οὗ ἡ ἀρχή· «Ὁ ἱστοριογράφος Προκόπιος ἔχωντας σκοπὸν εἰς τὸ παρὸν ἔννατον βιβλίον» κέ) καὶ ἀφιερωτικὴ ἐπιστολὴ τῷ «μεγάλῳ ποστελνίκῳ κυρίῳ Στεφάνῳ τῷ Καντακουζηνῷ», οὗ τῇ προστάξει ἐγένετο ἡ παράφρασις· ταύτης δὲ ποιητὴς Μᾶρκος Πορφυρόπουλος ὁ Κύπριος, περὶ οὗ ὅρα Κ. Σάθα, Μεσ. βιβλιοθ. II, σ. 192, 491, 528. Σοφοκλέους Οἰκονόμου, Περὶ Μάρκου τοῦ Κυπρίου. Ἐν Ἀθήναις 1843. Ἀ. Δημητρακοπούλου, Προσθῆκαι καὶ διορθώσεις εἰς τὴν νεοελληνικὴν φιλολογίαν Κ. Σάθα. Ἐν Λειψίᾳ 1871, σ. 100. Ἀ. Π.-Κεραμέως, Κατάλογος τῶν χειρογράφων τῆς ἐν Σμύρνῃ βιβλιοθήκης τῆς Εὐαγγελικῆς Σχολῆς. Σμύρνη 1877, σ. 47. Ἀλήθεια· σύγγραμμα ἐκκλησιαστικόν. Ἐν Κωνσταντινουπόλει 1880, σ. 206, 207.

86. Τεῦχος χάρτινον ἐκ φύλλων 160, γραφὲν ἔτει 1683-ῳ.— «Λογικῆς ἀπανθίσματα καὶ προοίμιον· τοῦ Κορυδαλέως». Ἀρχ. «Ὅσα ἕνεκά του κινεῖται» κτλ. Μετὰ τὸ πέρας τοῦ κειμένου· «,αχπγ': κατὰ μῆνα σεπτέμβριον. Ἐξεδόθη ἐν Κωνσταντινουπόλει. Ὁ πρώην Λακεδαιμονίας Γεώργιος» (?).

87. Τεῦχος χάρτινον ἐκ φύλλων 110 (μήκους 0,215, πλ.

0,16), οὗ τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 21 (0,142×0,088). Αὐτόγραφος κῶδιξ Γεωργίου τοῦ Σουγδουρῆ· ἐν τῇ ἀρχῇ αὐτοῦ κόσμημά τι ὑπάρχει φιλόκαλον, τὸ δὲ τοῦτο περιέχον ἐν ἑαυτῷ φύλλον ἔχει καὶ τὸ σημείωμα τόδε· «Ἐκ τῶν τοῦ διδασκάλου Ἀ(να)νίου ἀφιερώθη τῷ Παναγίῳ Τάφῳ κατὰ τὸ ,αψο-ον [= 1770] ἔτος, καὶ πᾶς τις τὰς προγεγραμμένας θύραθεν ἀρὰς ἀναγνώτω». Ἐπιγραφή· «Εἰς τὰ τοῦ φιλοσόφου περὶ γενέσεως καὶ φθορᾶς διάλεξις». Ἀρχ. «Ἐπεὶ μὲν ὁ τῆς φύσεως μύστης» κτλ. Ἐν τῇ ᾤᾳ τοῦ 1-ου φύλλου· «Γέγραπται ὑπὸ τοῦ διδασκάλου Γεωργίου ἱερέως Σουγδουρῆ». Μετὰ τὸ πέρας τοῦ κειμένου· «Γεώργιος ἱερεὺς Σουγδουρῆς ἐκ πόλεως Ἰωαννίνων. 1674 φευρουαρίου 16 ἐν τῇ τῶν Ἐνετιῶν». Κ. Σάθα, Νεοελληνικὴ φιλολογία, σ. 393.

88. Ἀνεπίγραφος ἐκ τῆς Παλαιᾶς Διαθήκης ἱστορία, ἧς τὸ τέλος ἐλλείπει τῷ κώδικι· ἀριθμεῖ δὲ φύλλα 84 (μήκους 0,224 πλ. 0,17), γραφέντα περὶ τὴν ἀρχὴν τῆς ἑκκαιδεκάτης ἑκατονταετηρίδος. Ἀρχ. «Χρὴ τὸν ἀληθῆ χριστιανὸν ἐπίστασθαι τί Θεὸς» κτλ. Πρβλ. A. Vassiliev, Anecdota graeco-byzantina. Mosquae 1893, σ. 188.

89. Τεῦχος χάρτινον ἐκ φύλλων 14 (μήκους 0,218 πλ. 0,145), γραφὲν περὶ τὴν ἀρχὴν τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος· τούτου δὲ τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλόν ἐστιν ἐκ γραμμῶν 27 (0,18×0,08).—«Τοῦ ἐν ἀληθείᾳ πανσόφου καὶ παμμάκαρος κυροῦ Νικολάου τοῦ Καβάσιλα λόγος εἰς τὰ ἅγια καὶ σωτήρια πάθη τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἀρχ. «Ἄκουε οὐρανὲ καὶ ὁ τῶν Ἀγγέλων ἅπας κύκλος». Fabricii-Harles, Bibl. graeca, τ. X, σ. 25 καὶ 244.

90. Τεῦχος χάρτινον τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων 32, μήκους 0,217, πλ. 0.155.

1. «Ὅρος, ἤτοι τόμος τῆς ἱερᾶς συνόδου τῆς συγκροτηθείσης ἐν τῇ θεοφυλάκτῳ βασιλευούσῃ μεγαλοπόλει Μοσχοβίᾳ ἐν ἔτει ἀπὸ κτίσεως κόσμου ,ζροδ' ἐν μηνὶ ἰαννουαρίῳ ἰνδ. δης». Ἀρχ.

«Συνέχει δὲ ἐν πρώτοις δι' ἣν αἰτίαν συνηθροίσθη ἡ ἱερὰ σύνοδος» κτλ.

2. «Κανόνες, τοὺς ὁποίους ἐπρόβαλαν εἰς τὴν ἱερὰν σύνοδον οἱ μακαριώτατοι, ὅ τε κὺρ Παΐσιος πάππας καὶ πατριάρχης Ἀλεξανδρείας καὶ πάσης γῆς Αἰγύπτου, ὅ τε κὺρ Μακάριος πατριάρχης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς, περί τινων ἀναγκαίων ἐκκλησιαστικῶν ὑποθέσεων». Ἀρχ. «Κανὼν α'. Γνωστὸν γέγονεν ἡμῖν, ὡς τινὲς τῶν ἀρχιερέων» κτλ. Κανόνες νδ'.

3. «Ζητήματα διάφορα νὰ τὰ λύσουν οἱ δύο μακαριώτατοι πατριάρχαι, ὅ τε κὺρ Παΐσιος πάππας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ κριτὴς τῆς οἰκουμένης, καὶ ὅ τε κύριος Μακάριος (πατριάρχης) τῆς μεγάλης Θεουπόλεως Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς». Ἀρχ. «α'. Ὁ Νίκων, ὁ νῦν μοναχός, ὁπόταν ἦτον εἰς τὸν πατριαρχικὸν θρόνον ἐπῆγε» κτλ. Τὸ κείμενον τοῦτο συνεπεγράφη ὑπὸ τριῶν πατριαρχῶν, τοῦ Ἀλεξανδρείας Παϊσίου, τοῦ Ἀντιοχείας Μακαρίου καὶ τοῦ Μοσκοβίας Ἰωάσαφ, καὶ ὑπὸ 73 ἑτέρων ἀτόμων, οἷον μητροπολιτῶν, ἀρχιεπισκόπων, ἐπισκόπων, ἀρχιμανδριτῶν μοναστηρίων καὶ πρωτοπαπάδων.

91. Τεῦχος χάρτινον τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων 38, μήκους 0,215, πλ. 0,168.—«Χριστὸς ἡγείσθω. Τοῦ μακαρίου Αὐγουστίνου, ἐπισκόπου Ἱππῶνος, εὐχαὶ θεωρητικαὶ καὶ ἐρωτικαί, αἱ καλούμεναι μονόλογοι· ἑρμηνεύθησαν δὲ πρὸς τὴν ἑλλάδα γλῶτταν παρὰ Δημητρίου τοῦ Κυδώνη ἀπὸ τῆς τῶν λατίνων διαλέκτου».

92. Τεῦχος χάρτινον ἐκ φύλλων 46 (μήκ. 0,212, πλ. 0,16), γραφὲν ἔτει 1715-ῳ.—«Περὶ τῆς τῶν συμβουλιῶν ματαιότητος βιβλίον ἕν, ἐν ᾧ ἡ ματαιότης καὶ ἡ ἀλήθεια τῶν ἀνθρωπίνων πραγμάτων πολιτικοῖς καὶ ἠθικοῖς λόγοις καθαρῶς ἀποδείχνεται καὶ διαλογικῶς παραδίδοται». Ἀρχ. «Συμβουλία πρώτη. Περὶ συμβουλίας καὶ συμβουλευτῶν. Α-ον. Ματαιότης, τὸ ὡραιότατον τῶν πραγμάτων» κτλ. Μετὰ τὸ πέρας· «Δημήτρ: Νωταρὰς ἰατροσοφιστὴς ἐμεταγλώττισε τὸ τῆς ἑβδόμης Μούσης τοῦ Ἡροδότου· (τὸ) ἐπὶ τῆς ἀρχῆς πρὸς τὸν βασιλέα κείμενον δὲν τὸ ἑλλήνισα,

ὅτι μοῦ λείπει καὶ ἡ αὐτοῦ ἐννάτη Μοῦσα, καὶ τί ἀνάγκη καὶ εἰς τόσον ὀλίγον νὰ βαρβαρίσωμεν. Ἐπετέθη κορωνὶς τῷδε 12 αὐγούστου 1715 ἐν Βουκουρεστίῳ». Περὶ Δημητρίου τοῦ Νοταρᾶ ὅρα Κ. Σάθα, Μεσαιων. βιβλιοθ. τ. II, σ. 199, 500 καὶ 531.

93. Τεῦχος χάρτινον (0,208×0,155), οὗ ἡ ἐπιγραφή· «Κατάλογος μερικῶν βιβλίων τῆς βιβλιοθήκης τοῦ Μετοχίου τοῦ Ἁγίου Τάφου, ἅπερ οὐκ ἔγραψα ἐν τῷ παρόντι καταλόγῳ τότε· νῦν δὲ εὑρεθέντων σημειοῦμεν ἐνταῦθα· καὶ αὐτά, ὡς καὶ τὰ λοιπά, διαιροῦνται εἰς τρία μήκη, α^ον, β^ον καὶ γ^ον, κατὰ στοιχίων πρασίνων μὲ ἀριθμούς· ὁ ἀριθμὸς τοῦ καθ' ἑνὸς βιβλίου ὁποῦ εἶναι σημειωμένος εἰς τὸν κατάλογον, εἶναι σημειωμένος ἔξωθεν καὶ εἰς τὸ ἴδιον βιβλίον». Μετὰ τὴν ἐπιγραφὴν ταύτην καὶ τὴν προσθήκην τῶν δι' αὐτῆς δηλουμένων βιβλίων εὑρίσκεται ἐν τούτῳ τῷ τεύχει καὶ ὁ ἰδίᾳ τῆς βιβλιοθήκης κατάλογος, οὗ ἡ ἐπιγραφή· «Κατάλογος πάντων τῶν βιβλίων τῶν ἐν τῇ ἱερᾷ βιβλιοθήκῃ τοῦ ἐν τῇ Κωνσταντινουπόλει θείου καὶ ἱεροῦ Μετοχίου τοῦ Παναγίου καὶ Ζωοδόχου Τάφου, ἐπὶ Μελετίου τοῦ μακαριωτάτου καὶ θειοτάτου πατριάρχου τῶν Ἱεροσολύμων. ἔτει ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας ͵αψλα' [= 1731], κατὰ μῆνα μάρτιον».

94. Τεῦχος χάρτινον, πιθανῶς αὐτόγραφον Δοσιθέου πατριάρχου Ἱεροσολύμων, συνιστάμενον ἐκ φύλλων 83 (μήκ. 0,205, πλ. 0,16)· ἐγράφη δὲ περὶ τὸ τέλος τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος.

1. «Κεφάλαια κατὰ Λατίνων, μὲ τὰ ὁποῖα λογιάζουσι νὰ ἀποδείξωσι πῶς τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται καὶ ἐκ τοῦ υἱοῦ· καὶ πρὸς ταῦτα λύσ(ε)ις τῶν Γραικῶν, μὲ τὰς ὁποίας ἀναιροῦσι τὰ ὅσα οἱ Λατῖνοι λέγουσιν». Ἀρχ. «Τῶν Ἰταλῶν πρότασις πρώτη. Ὁ Χριστὸς λέγει» κτλ., φ. 1-47. Τὸ κατόπι 48-ον φύλλον ἐστὶν ἄγραφον.

2. «Ναθαναὴλ τοῦ Χῖκα κατὰ τῆς ἀρχῆς τοῦ πάπα ἐγχειρίδιον». Ἀρχ. «Κεφάλαιον πρῶτον. Περὶ τῶν πρωτείων τοῦ πάπα» κτλ., φ. 49-74. Τὰ κατόπι δύο φύλλα (75 καὶ 76) παντάπασιν ἄγραφα. Τοῦ κειμένου τούτου προτέτακται Δοσιθέου πατριάρχου Ἱερσολύμων ἐπιστολὴ «τοῖς ἐντευξομένοις», ἐν ᾗ καὶ ὁ τοῦ Χῖκα

ἡ Χύκα περιγράφεται βίος, τοῦ Δοσθέου λέγοντος ἐν αὐτῇ σὺν ἄλλοις, ὅτι οὗτος ὁ Χύκας «ἔγραψε κατὰ Λατίνων τόμους δύο, ὧν τὸν ἕτερον ἡμεῖς εὑρόντες κατετάξαμεν ἐνταῦθα εἰς ὠφέλειαν τῶν ὀρθοδόξων». Τὸ κατὰ τῆς ἀρχῆς τοῦ πάπα ἐγχειρίδιον αὐτοῦ, ληφθὲν ἐκ τοῦ 76-ου κώδικος τῆς τοῦ Δουγδούνου τῶν Βαταυῶν βιβλιοθήκης, ἐξεδόθη τύποις σὺν τῇ ἐπιγραφῇ ταύτῃ· «Ναθαναὴλ Χύχα τοῦ Ἀθηναίου ἐγχειρίδιον περὶ τοῦ πρωτείου τοῦ πάπα. Ἐκδίδοται νῦν πρῶτον ἐκ χειρογράφου τῆς τοῦ Δουγδούνου τῶν Βαταβῶν βιβλιοθήκης ὑπὸ Ἀνδρονίκου Κ. Δημητρακοπούλου ἀρχιμανδρίτου. Ἐν Λειψίᾳ τύποις Γέϊσεκε καὶ Δεβριέντ. 1869».

3. «Ἀντίρρησις εἰς τὸ τρίτον. Ἀποκρίσεις εἰς τρεῖς ἀπορίας, τὰς ὁποίας ἐπρόβαλον ζητοῦντες τὰς λύσεις τινὲς τῶν εἰς τὰ Δωδεκάνησα εὑρισκομένων ὀρθοδόξων, καὶ πρώτη μέν ἐστιν, ἂν εἶναι εὔλογον νὰ δίδουν τὰ παιδία τους οἱ ὀρθόδοξοι εἰς τοὺς Γιεζουβίτας καὶ λοιποὺς Φραγκοκαλογήρους διὰ νὰ μανθάνωσι γράμματα, ἐπειδὴ τὰ διαβάζουσι χωρὶς να πέρνωσι πληρωμήν· ἡ δευτέρα ἐστίν, ἂν εἶναι συγχωρημένον νὰ γίνονται ὑπανδρεῖαι [sic] τῶν ὀρθοδόξων μὲ τοὺς λαϊκοὺς [γρ. Λατίνους]· ἡ τρίτη ἐστίν, ἂν εἶναι ὠφέλιμον νὰ ἐξομολογοῦνται οἱ ὀρθόδοξοι εἰς τοὺς Φραγκοπαπάδες». Ἀρχ. «Εἰς τὴν πρώτην εἴτε ἀπορίαν εἴτε ἐρώτησιν» κτλ.

95. Τεῦχος χάρτινον ἐκ φύλλων 46 (μήκ. 0,215, πλ. 0,158), ὧν τὰ τέσσαρα ἔσχατα παντάπασιν ἄγραφα· ἐγράφη περὶ τὸ τέλος τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος, καὶ ἐν μὲν τοῖς τέσσαρσι πρωτίστοις φύλλοις ὑπάρχει Σεβαστοῦ τοῦ Κυμινήτου γράμμα πρὸς Κωνσταντῖνον τὸν Μπασσαράμπαν, ἐν δὲ τοῖς κατόπι πέντε φύλλοις πρόλογος τοῦ αὐτοῦ Σεβαστοῦ, ἐν δὲ τοῖς λοιποῖς φύλλοις τοῖς ἄχρι τοῦ 42-ου συγγραφή τις αὐτοῦ τούτου τοῦ Σεβαστοῦ σὺν τῇ ἐπιγραφῇ ταύτῃ· «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοφυλάκτου, ἀρχιεπισκόπου Βουλγαρίας, παιδεία βασιλικὴ πρὸς (τὸν) πορφυρογέννητον Κωνσταντῖνον, μεταφρασθεῖσα μὲν εἰς πεζὴν φράσιν ὑπὸ Σεβαστοῦ Τραπεζουντίου τοῦ Κυμινήτου, ἀφιερωθεῖσα δὲ εἰς τὸν εὐσεβέστατον, ἐνδοξότατον, ἐκλαμπρότατον καὶ θεόστεπτον ἡμῶν

αὐθέντην καὶ ἡγεμόνα πάσης Οὐγκροβλαχίας κύριον κύριον Ἰωάννην Κωνσταντῖνον Μπασσαράμπα βοεβόνδα τὸν Μπραγκοβάνον.

96. Τεῦχος χάρτινον μήκους 0,205, πλ. 0,155.

α') Σελίδες 52 μονόστηλοι ἐκ γραμμῶν 30 (0,163×0,105). Αὐτόγραφος ἐπιστολιμαία διατριβὴ Σεβαστοῦ τοῦ Κυμινήτου πρὸς Χρύσανθον Νοταρᾶν, ἀρχιδιάκονον τοῦ Ἱεροσολύμων πατριάρχου Δοσιθέου, «Περὶ τοῦ μυστηρίου τῆς εὐχαριστίας»· ἧς ἡ ἀρχή· «Ὑπὲρ μὲν οὖν ὧν πρὸ σκοποῦ» κτλ. Ἡ τοιαύτη ἐπιστολὴ ἐστάλη εἰς Κωνσταντινούπολιν ἔτει 1687-ῳ, ἔνθα τότε διέτριβεν ὁ Χρύσανθος, καθὰ δηλοῖ ἡ τοῦ στείλαντος ὑπογραφή, ἔχουσα οὕτω (σ. 52)· «Ὁ ἐλάχιστος ἐν σπουδαίοις καὶ σὸς ποτὲ χρηματίσας, εἰ καὶ εὐτελής, ὅμως εἴπω καθηγητής, Σεβαστὸς Τραπεζούντιος ὁ Κυμινήτης. ͵αχπζ-ῳ νοεμβρίου κε'. Ἀπὸ Τραπεζοῦντος εἰς Κωνσταντινούπολιν». Ἐξεδόθη τύποις ὑπὸ Βασιλείου μητροπολίτου Ἀγχιάλου, εἶτα δὲ Σμύρνης. Ἐκκλησ. Ἀλήθεια, 1881, σ. 243-246 καὶ 253-255.

β') Φύλλα πέντε, περιέχοντα ἐν ἑαυτοῖς πρῶτον ἀπόκρισιν (1689 σκιρροφοριῶνος ι' ἱσταμένου) Σεβαστοῦ τοῦ Κυμινήτου πρὸς ἐπιστολὴν τοῦ Χρυσάνθου περὶ τῆς μετουσιώσεως τοῦ ἄρτου καὶ τοῦ οἴνου, εἶτα δὲ ἔνστασιν τοῦ Χρυσάνθου πρὸς τὴν ἑρμηνείαν τοῦ Σεβαστοῦ, καὶ τούτου πάλιν ἀπόκρισιν πρὸς τὸν Χρύσανθον. Τοῖς κειμένοις τούτοις ἕπεται φύλλα ὀκτὼ παντάπασιν ἄγραφα.

97. Τεῦχος χάρτινον ἐξ 28 φύλλων (0,204×0,17), γραφὲν ὑπερμεσούσης τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος.—«Χρονολογία καὶ ἀρχὴ τῶν κνέζιδων καὶ βασιλέων τῆς Ῥωσσίας ἐν συνόψει» μέχρι τοῦ 1648-ου ἔτους. Ἀρχ. «Ἔτει ἀπὸ κτίσεως ͵ϛτοε' βασιλευόντων» κτλ. Κατὰ τὸν τύποις ἀνέκδοτον κατάλογον Ἀντωνίνου ὑπῆρχεν ἐν τούτῳ τῷ τεύχει καὶ «προσφωνητικὸν ἀφιερωθὲν εἰς τὸν αὐτοκράτορα Ῥωσσίας Ἀλέξιον, οὗ ἡ ἀρχή: Εἰς τὴν πρώτην ἀρχὴν τῆς ἰνδίκτου»· τοῦτο μέντοι τὸ προσφώνημά τις, ὡς φαίνεται, μετὰ τὸν Ἀντωνῖνον ἐξέσπασεν ἐκ τοῦ τεύχους.

98. Ἀντίγραφον ἐντύπου βιβλίου, οὗ ἡ ἐπιγραφή· «Γνωμο-

λογικὸν περιέχον τὰ κατὰ ἀλφάβητον γνωμικὰ μονόστιχα τοῦ Χρυσολωρᾶ. Ἰάκωβος ἱεροδιάκονος. Ἐνετίῃσι, 1771. Παρὰ Δημητρίῳ Θεοδοσίου τῷ ἐξ Ἰωαννίνων». Φύλλα χάρτινα 33 (μήκ. 0,207, πλ. 0,148), ὧν τὸ προτελευταῖον ἐμπεριέχει στίχους τινὰς τοῦ ἀντιγραφέως Ἰακώβου ἱεροδιακόνου τοῦ ἐκ Μυριοφύτου.

99. Τεῦχος χάρτινον τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων 56 (μήκους 0,209, πλ. 0,158), ὧν μία τῶν σελίδων ἑκάστη κείμενον ἐμπεριέχει μονόστηλον ἐκ γραμμῶν 33 (0,162 × 0,11).—Γερασίμου πατριάρχου Ἀλεξανδρείας ὁμιλίαι ζ′. 1) Τῇ Κυριακῇ τῆς ὀρθοδοξίας. 2) Τῇ β′ Κυριακῇ τῶν νηστειῶν. 3) Τῇ γ′ Κυριακῇ τῶν νηστειῶν. 4) Τῇ δ′ Κυριακῇ τῶν νηστειῶν. 5) Τῇ ϛ′ Κυριακῇ τῶν νηστειῶν. 6) Τῇ Κυριακῇ τῶν Βαΐων. 7) Εἰς τὴν Ἀνάληψιν.

100. «Φιλοθέου πάρεργα». Καλλιγραφικὸν ἀντίγραφον, γενόμενον περὶ τὴν ἀρχὴν τῆς ὀκτωκαιδεκάτης ἑκατονταετηρίδος καὶ συνιστάμενον ἐκ φύλλων χάρτου 62 (μήκους 0,21, πλ: 0,155)), ὧν τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 22 (0,133 × 0,09).

101. «Νεκταρίου Ἱεροσολύμων πατριάρχου, ἐνοχλουμένου παρὰ τῶν ἐν Ἱεροσολύμοις φρατόρων, πρὸς ἅσπερ προτείνουσι διδάσκοντες καινὰς διδασκαλίας». Λόγοι γ′, ὧν ἡ ἀρχή· «Τὰς τῶν μεγίστων πολέμων» κτλ. Συνεγράφη τὸ πόνημα τοῦτο ἔτει 1674-ῳ (ὅρα φύλ. 84-ον) καὶ συνίσταται ἐκ φύλλων χάρτου 89, μήκους 0,211, πλ. 0,16. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 23 (0,158 × 0,11).

102. «Πίναξ χρονολογικὸς τῶν αὐτοκρατόρων τῆς Κωνσταντινουπόλεως». Ἀρχ. «306. Ἀφ' οὗ ἀπέθανεν ὁ αὐτοκράτωρ Κώνστας» κτλ. Τέλος· «1455 - - - ὁ Δούκας φέρει ἕνα τέλος, ἤτοι δόσιμον ἐκ μέρους τοῦ πρίγγιπος τῆς Λέσβου, ἤτοι τῆς Μιτυλήνης τῆς νήσου. Κεφ. Μδ ᵠ: Τέλος τοῦ πίνακος τῶν αὐτοκρατόρων τῆς Κωνσταντινουπόλεως.—χ. Ι. Γ. Μ. Μ. Μ». Τεῦχος χάρτινον, γραφὲν περὶ τὸ τέλος τῆς ιζ′ ἑκατονταετηρίδος καὶ συνιστάμενον ἐκ φύλλων 100, ὧν τὰ ἑπτὰ πρώτιστα καὶ τὰ δυο-

καίδεκα ἔσχατα παντάπασιν ἄγραφα· ἔστι δὲ μήκους 0,216, πλ. 0,16. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν εἴκοσι (0,155 × 0,10).

103. Τεῦχος χάρτινον ἐκ φύλλων 52 (μήκους 0,216, πλ. 0,155), ὧν τὰ τέσσαρα πρώτιστα καὶ τὰ δύο ἔσχατα παντάπασιν ἄγραφα. Ἐγράφη τῇ ις' ἑκατονταετηρίδι καὶ περιέχει ἐν ἑαυτῷ τὰ κείμενα ταῦτα· α') «Ἐκ τῆς ἀποσταλείσης ἐκθέσεως τῆς λατινικῆς πίστεως παρὰ τοῦ πάπα Γρηγορίου πρὸς τὸν ἁγιώτατον πατριάρχην Κωνσταντινουπόλεως Γερμανόν». Ἀρχ. «Πατήρ ἐστι πλήρης Θεὸς» κτλ.—β') «Περὶ Λατίνων». Ἀρχ. «Οὗτοι δὲ συγκοινωνοῦσι πᾶσιν αἱρετικοῖς».—γ') Κανόνες τινὲς συνοδικοί.—δ') «Περὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν ζ' συνόδων». Ἀρχ. «Πρώτη σύνοδος γέγονεν ἐν Νικαίᾳ».—ε') «Ἐκ τοῦ Εὐχολογίου τοῦ Πατριαρχικοῦ, πῶς χρὴ δέχεσθαι τοὺς ἀπὸ αἱρέσεων ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ καὶ ἀποστολικῇ ἐκκλησίᾳ». Ἀρχ. «Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς» κτλ.—ς') «Ἔκθεσις ἀκριβεστάτη περὶ τοῦ πῶς δεῖ δέχεσθαι τοὺς ἐξ Ἑβραίων τῇ τῶν χριστιανῶν πίστει προσερχομένους». Ἀρχ. «Ἐξαγορεύειν αὐτὸν χρὴ» κτλ.—ζ') «Τάξις γινομένη ἐπὶ τοῖς ἀπὸ Σαρακηνῶν ἐπιστρέφουσιν πρὸς τὴν καθαρὰν καὶ ἀληθινὴν πίστιν τῶν χριστιανῶν». Ἀρχ. «Προηγουμένων μὲν» κτλ.

104. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατ. ἐκ φύλλων 65 (0,216 × 0,158), ὧν τὸ πρώτιστον καὶ τὸ ἔσχατον ἄγραφον. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 18 (0,155 × 0,093).—α') «Ἀκολουθία τοῦ εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἀκαθίστου ὕμνου. Τῷ Σαββάτῳ τῆς πέμπτης ἑβδομάδος τῆς Μεγάλης Τεσσαρακοστῆς παννυχίδος τελουμένης» κτλ.—β') «Ἀκολουθία τῆς ἁγίας μεγαλομάρτυρος τοῦ Χριστοῦ Κυριακῆς». Ἀρχ. «Μάρτυς ἀθλοφόρε τοῦ Χριστοῦ» κτλ.—γ') «Ἀκολουθία τοῦ τε ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου καὶ τῶν ὁσίων πατέρων Συμεὼν καὶ Σάββα τοῦ υἱοῦ αὐτοῦ, τῶν ἐκ τῆς Σερβείας ὁρμωμένων καὶ ἐν τῷ τοῦ Ἄθωνος ἁγιωνύμῳ ὄρει ἐν ἀσκήσει λαμψάντων».

105. Αὐτόγραφον τεῦχος Μαξίμου τοῦ Μαργουνίου, συνιστάμενον ἐκ φύλλων χάρτου 4+71 (μήκους 0,215, πλ. 0,155). Τὰ πρώτιστα τρία φύλλα περιέχει ἐν ἑαυτοῖς σχῆμά τι γεωμετρικὸν περὶ τῆς ἐκ πατρὸς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος καὶ πίνακα τῶν ἐν αὐτῷ τούτῳ τῷ τεύχει μνημονευομένων συγγραφέων· τὸ δὲ κατόπι 4-ον φύλλον ἐμπερικλείει Μαξίμου τοῦ Μαργουνίου ἐπιστολὴν πρὸς τὸν Κωνσταντινουπόλεως πατριάρχην Ἱερεμίαν (1583), ἧς ἡ ἀρχή· «Οὐδὲν ἀγάπης» κτλ. Ἐν τῇ 2-ᾳ σελίδι τοῦ 3-ου φύλλου γέγραπται τὸ σημείωμα τόδε· «Σύγγραμμα τῶν τριῶν λόγων εἰς δόξαν τῆς ὑπερουσίου τριάδος εἰς τὴν πρώτην μαΐου μηνὸς κατὰ τὸ ͵αφπγ′ [=1583], καὶ ἔφερά το σιμᾶ εἰς τὸ τέλος εἰς τὰς ιε′ τοῦ αὐτοῦ».—α′) «Μαξίμου ἐλαχίστου ἱερομονάχου Μαργουνίου τοῦ Κρητὸς δογματικὸς λόγος, ἤτοι περὶ τῆς τοῦ παναγίου πνεύματος ἐκπορεύσεως». Ἀρχ. «Τίς μὲν ἂν εἴη» κτλ., φ. 1-30.—β′) «Τοῦ αὐτοῦ Μαξίμου ἐλαχίστου ἱερομονάχου Μαργουνίου τοῦ Κρητὸς λόγος β-ος ἑνωτικός, ἤτοι περὶ τῆς τοῦ παναγίου πνεύματος ἐκπορεύσεως». Ἀρχ. «Οὐδὲν ὑπερηφανείας ὀλεθριώτερον» κτλ., φ. 31-50.—γ′) «Τοῦ αὐτοῦ Μαξίμου ἐλαχίστου ἱερομονάχου Μαργουνίου τοῦ Κρητὸς λόγος τρίτος ἑνωτικός, ἢ περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως». Ἀρχ. «Τριὰς ἡ παντουργὸς» κτλ., φ. 51-65, ἔνθα τὸ σημείωμα τοῦτο· «Δόξα τῷ φωτοδότῃ καὶ παναγάθῳ Θεῷ. Εὔχαισθέ μοι οἱ ἀναγινώσκοντες τῷ τε συντάξαντι ἅμα καὶ συγγράψαντι τὸ παρὸν σύγγραμμα: συγχώρησιν ἁμαρτιῶν παρὰ Κυρίου δέομαι».—δ′) Ἀπόσπασμα «ἐκ τῶν Γεωργίου τοῦ Παχυμέρου». Ἀρχ. «Πρὸς τοὺς λέγοντας ὅτι διὰ τοῦτο» κτλ., φ. 65-β 66. Τὰ κατόπι φύλλα (67-71) παντάπασιν ἄγραφα.

106. Χρυσάνθου Νοταρᾶ «ἀντίρρησις εἰς ὅσα κακῶς, ψευδῶς καὶ ἀναρμόστως λέγονται εἰς τὸ Προσκυνητάριον τοῦ Σινᾶ». Ἀντίγραφον ἐπιμελές, γενόμενον περὶ τὸ τέλος τῆς ιζ′ ἑκατ. καὶ συνιστάμενον ἐκ φύλλων χάρτου 80 (0,215×0,16), ὧν τὰ πρώτιστα ἓξ καὶ τὰ ἔσχατα ἓξ παντάπασιν ἄγραφα. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 22 (0,157×0,102).

107. Σεβαστοῦ Κυμινήτου περὶ τοῦ μυστηρίου τῆς εὐχαριστίας ἐπιστολὴ πρὸς Χρύσανθον ἀρχιδιάκονον τοῦ Ἱεροσολύμων πατριάρχου Δοσιθέου. Ἀρχ. «Ὑπὲρ μὲν οὖν ὧν πρὸ σκοποῦ γράφεις» κτλ. Τεῦχος χάρτινον, γραφὲν περὶ τὸ τέλος τῆς ιζ' ἑκατ. καὶ συνιστάμενον ἐκ φύλλων 64, μήκους 0,214, πλ. 0,16. Ὅρα ἀριθ. 96.

108. Τεῦχος χάρτινον, γραφὲν τῇ ὀκτωκαιδεκάτῃ ἑκατονταετηρίδι καὶ συνιστάμενον ἐκ φύλλων 72, μήκους 0,21, πλ. 0,165. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 22 (0,156×0,11).

1. «Βίος καὶ πολιτεία τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Θεοδοσίου ἡγουμένου τῶν Πετζερσκιωτῶν, τοῦ ἀρχηγοῦ τῶν μοναχῶν τῆς Ῥωσσίας, τῶν ἐναρξάντων κατὰ τὸ τυπικὸν ἀγωνίζεσθαι ἐν τοῖς μοναστηρίοις· ὅστις τὴν μοναδικὴν τελείαν πολιτείαν, ὁποῦ ὁ ὅσιος Ἀντώνιος ἐφύτευσεν εἰς τὴν Ῥωσσίαν, ἐπλήθυνεν ἀπὸ τῆς σπηλαίας (καὶ) εἰς τὸ μοναστήριον ἐμετάφερε, καὶ μὲ τὴν τάξιν τῆς ἁγίας μονῆς τῶν Στουδίων ἐδιόρθωσε [sic], τὴν δὲ ἁγίαν Πετζέρσκαν λαύραν εἰκοδόμησεν [sic] ἀνεκδιηγήτοις ἀρεταῖς καὶ θαύμασιν». Ἀρχ. «Μηνὶ μαΐου γ'.—Δεύτερον ἐκ τῆς Ῥωσσίας μέγα φωστῆρα τοῦ οὐρανοῦ» κτλ., φ. 1-52.

2. «Διήγησις περὶ τῆς ἀνακομιδῆς τῶν τιμίων λειψάνων τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Θεοδοσίου τοῦ Πετζερσκιώτου καὶ τῶν μετὰ τὴν ἀνακομιδὴν ἐπιλοίπων αὐτοῦ θαυμάτων», φ. 53-63^α.

3. «Ἐγκώμιον εἰς τὸν ὅσιον καὶ θεοφόρον πατέρα ἡμῶν Θεοδόσιον τὸν ἡγούμενον τῆς Πετζέρσκας, τὸν ἀρχηγὸν τοῦ τυπικοῦ τῶν μοναχῶν τῆς Ῥωσσίας». Ἀρχ. «Ἐγκωμιαζομένου δικαίου» κτλ., φ. 63^β-72^β.

109. Μαθηματάριον Βασιλείου υἱοῦ Αὐγερινοῦ, χάρτινον, ἐκ φύλλων 70 μήκους 0,217, πλ. 0,161.—α') Ἀντωνίου Βυζαντίου χρηστοήθεια, ἣν ἔγραψε «Βασίλειος τοῦ ποτὲ Αὐγερινοῦ υἱός».—β') Ἡ αὐτὴ χρηστοήθεια μετὰ ψυχαγωγικῆς ἑρμηνείας.—γ') «Λουκιανοῦ Σαμοσατέως περὶ τοῦ ἐνυπνίου, ἤτοι βίος Λουκιανοῦ». — δ') Θέματα συντάξεως.—ε') Ἀγαπητοῦ διακόνου τὰ πρὸς Ἰουστι-

νιανὸν παραινετικὰ κεφάλαια· μεθ' ἃ τὸ σημείωμα τοῦτο· «Χρηστοήθεια τὸ παρὸν βιβλίον ὀνομάζεται καὶ ἔστω εἰς εἴδισιν ὅτι ὑπάρχει τοῦ Βασιλείου υἱοῦ Αὐγερινοῦ - - - ἰξεύρεται καὶ τοῦτο εἰς τοὺς ,αψνζ' [=1757] ἦλθα εἰς τὸν μακαριότατον ἐν μινὶ σεπτεμβρίου κ', ἡμέρα Σάββατον».

110. Ἀντίγραφον ἐντύπου βιβλίου ἐκ σελίδων 108, γενόμενον τῇ ιη' ἑκατονταετηρίδι. Μήκους 0,208, πλ. 0,153. — Ἐπιγραφή· «Ἄνθος τῆς εὐσεβείας, ἤτοι συνταγμάτιον περὶ ἀναβαπτισμοῦ, διῃρημένον εἰς λβ' κεφάλαια. Συντεθὲν παρὰ τοῦ ἐξοχωτάτου ἰατροφιλοσόφου Εὐστρατίου Ἀργέντου καὶ τυπωθὲν πρῶτον ἐν Κωνσταντινουπόλει, προτροπῇ τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου, κυρίου, κυρίου, Κυρίλλου. Δεύτερον δὲ τύποις ἐκδοθὲν, διὰ δαπάνης τοῦ εὐγενεστάτου ἄρχοντος κυρίου Σκαρλάτου τοῦ Μαυροκορδάτου Κωνσταντίνου, τοῦ ἐκ Χίου, κινηθέντος ἐκ θείου ζήλου εἰς ὠφέλειαν τῶν χριστιανῶν, καὶ ἀφιερωθὲν τῇ ἱερᾷ μονῇ τοῦ Κύκκου, τῇ κατὰ Κύπρον, ἐπιμελείᾳ τοῦ τιμιωτάτου κυρίου Νικολάου Ἰωάννου». Ἡ ἔκδοσις αὕτη ἐγένετο ἐν Λειψίᾳ ἔτει 1757-ῳ. Ὅρα Ἀ. Π.-Βρετοῦ, Νεοελλην. φιλολογία, τ. I, σ. 78, ἀριθ. 216.

111. Τεῦχος χάρτινον ἐκ φύλλων 60 (μήκους 0,203, πλ. 0,15), λατινιστὶ γραφέν, ὡς φαίνεται, περὶ τὸ τέλος τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος· ἦν δὲ «ἐκ τῶν τοῦ Δρύστρας Ἱεροθέου» τοῦ Κομνηνοῦ, ὃς πρὸ τῆς εἰς ἀρχιερέα χειροτονίας ἐπηγγέλλετο δημοσίᾳ τὴν ἰατρικὴν τέχνην. Ἐπιγραφή· «Aphor: p[s]: Vita brevii, ars longa etc.». Περὶ δὲ τοῦ Ἱεροθέου ὅρα ἡμέτερον πονημάτιον, οὗ ἡ ἐπιγραφή· «Ὁ τελευταῖος Κομνηνὸς κατ' ἔγγραφον ἐπίσημον τοῦ μητροπολίτου Ἡρακλείας Νεοφύτου» [Δελτίον τῆς ἱστορικῆς καὶ ἐθνολογικῆς ἑταιρίας τῆς Ἑλλάδος, τ. II, σ. 667-678].

112. Τεῦχος χάρτινον τῆς ἑπτακαιδεκάτης ἑκατονταετηρίδος ἐκ φύλλων 40, μήκους 0,205, πλ. 0,165. — α') «Μερικά τινα τῆς ματαιόφρονος κακοδιδαχῆς καὶ ἐσχάτης πλάνης τῶν ἀγραμμάτων καὶ ἀναλφαβήτων σχισματικῶν Καπητόνων, καὶ μέρος τῶν

καθ' ἡμῶν κατηγοριῶν αὐτῶν τῶν βεβήλων καὶ μεμιασμένων», φύλλ. 1-30. Τὰ κατόπι δύο φύλλα (31 καὶ 32) παντάπασιν ἄγραφα.—β') «Ἡ πρὸς τοὺς μεγάλους βασιλεῖς τῶν Καπητόνων ψευδὴς τζελομπιτιά». Ἀρχ. «Τύπτουσι τῷ μετώπῳ οἱ τῆς ἁγίας τοῦ Χριστοῦ Ἀνατολικῆς Ἐκκλησίας» κτλ. Τέλος· «ὅτι οἱ ἀρχιερεῖς τὰς δύο χεῖρας σταυρώσαντες εὐλογοῦσι τὸν λαὸν λατινικῶς (по римски) καὶ ὅτι τοῦτο ὁ πατριάρχης ἐποίησε·Νίκων. Τέλος τῶν κεφαλαίων τῶν Καπητόνων». Φύλλα ὀκτώ.

113. Ὁμιλίαι τινὲς τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου. Φύλλα χάρτου 83 (μήκους 0,217, πλ. 0,155), γραφέντα τῇ ις' ἑκατονταετηρίδι.

114. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατ. ἐκ φύλλων 97 (μήκους 0,21, πλ. 0,16), ὧν ἄγραφα τὰ ἑπτὰ πρώτιστα καὶ τὰ ἔσχατα εἴκοσι καὶ τέσσαρα φύλλα. Ἐν τῇ ὀπισθίᾳ σελίδι τοῦ 8-ου φύλλου γέγραπται τὸ σημείωμα τοῦτο· «Μή τις τῶν ἐντυγχανόντων τὰ ἐν τῇ παρούσῃ δέλτῳ ἐπὶ ματαίῳ εἶναι ἐκλάβῃ· ὃ γὰρ ἀνέγνων μετ' ἐπιμονῆς, τούτου καὶ εἰς πεῖραν ἦλθον αὐτοψί, καὶ θαυμάσας τοῦ ἔργου τὸ ἀποτέλεσμα, ἀπένειμα τῷ Θεῷ - - ».

1. «Στεφάνου Ἀλεξανδρέως οἰκουμενικοῦ φιλοσόφου καὶ διδασκάλου περὶ πράξεως σὺν θεῷ Α-η». Ἀρχ. «Θεὸν τῶν πάντων ἀγαθῶν αἴτιον» κτλ., φ. 9. Εἶτα (φ. 11) πρᾶξις δευτέρα· μεθ' ἣν «ἐπιστολὴ πρὸς Θεοδόσιον» (φ. 15) καὶ οὐχὶ «πρὸς Θεόδωρον», ὡς παρὰ τῷ Ideler [Physici et medici graeci minores, τ. II, σ. 208]· καὶ μετὰ ταύτην ἕτεραι πράξεις ἄχρι συμπληρώσεως τοῦ ἐνάτου ἀριθμοῦ (φ. 15β-43) [1].

ἔστιν εἰκάσαι ἐκ τῶν ἐν τῷ κώδικι τούτῳ χασματίων, ὑπάρχει κατὰ μίαν ἑκάστην τῶν σελίδων μονόστηλον ἐκ γραμμῶν τριάκοντα (0,142 × 0,085). — [Πρόκλου νεοπλατωνικοῦ] ἀκέφαλος ἑρμηνεία εἰς τὸν Πλάτωνος Ἀλκιβιάδην α'. Ἀρχ. « - - - τοῦ νεανίσκου τὴν ἀμαθίαν· ὅλως δὲ αὐτὸ τοῦτο ζητητέον ἀπὸ ποίας αἰτίας ὁ Ἀλκιβιάδης τὸ ἀνενδεὲς τοῦτο στοιχεῖον ἐτίθετο τῆς εὐδαίμονος ζωῆς» κτλ. Τέλος· «εἰ γὰρ τὸ καλὸν καὶ τὸ ἀγαθὸν ἀντιστρέφει, καὶ τὰ ἀντικείμενα αὐτοῖς τὸ κακὸν καὶ τὸ αἰσχρόν. Τῷ θεῷ δόξα».

188. Τεῦχος χάρτινον τῆς ις' ἑκατ. ἐκ φύλλων 257, μήκους 0,205, πλ. 0,155.—α') Χριστοφόρου Ἀλεξανδρείας λόγος. οὗ ἡ ἀρχή· «Πάντες μέν, ἀγαπητοί, τοὺς κατὰ καιρὸν ἀρχιερεῖς» κτλ., φ. 1.—β') Ἰωάννου Χρυσοστόμου λόγος πρὸς τοὺς εἰς τὰς ἱπποδρομίας ἀναβαίνοντας. Ἀρχ. «Βούλομαι τῆς συνήθους πάλιν ἅψασθαι» κτλ., φ. 11.—γ') Τοῦ αὐτοῦ εἰς τὸν εὐαγγελισμὸν τῆς Θεοτόκου καὶ κατὰ Ἀρείου. Ἀρχ. «Τῇ προτέρᾳ Κυριακῇ» κτλ.. φ. 26. — δ') «Διήγησις ψυχωφελὴς πάνυ περὶ τῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τιμίας καὶ ἁγίας εἰκόνος τῶν Χαλκοπρατείων» κτλ. Ἀρχ. «Ἀδελφοί, διήγησίν τινα βούλομαι» κτλ., φ 36. — ε') Ἐφραὶμ τοῦ Σύρου «ὁμιλία εἰς τὴν πόρνην τὴν ἀλείψασαν τὸν Κύριον μύρῳ ἐν τῷ δείπνῳ, τῇ ἁγίᾳ καὶ μεγάλῃ Τετάρτῃ». Ἀρχ. «Πολλῶν τοίνυν ὄντων», φ. 54β. — ς') Ἰωάννου Χρυσοστόμου λόγος εἰς τὸν δεῖπνον τοῦ Σωτῆρος. Ἀρχ. «Ἐβουλόμην, ἀγαπητοί, τῆς κατὰ τὸν πατριάρχην πάλιν» κτλ., φ. 68.— ζ') «Λεοντίου πρεσβυτέρου Ἱεροσολύμων λόγος εἰς τὴν ἁγίαν ἑορτὴν τῶν Βαΐων». Ἀρχ. «Ἤδη τῆς δεσποτικῆς πανηγύρεως» κτλ. φ. 90β. — η') Ἰωάννου Χρυσοστόμου λόγος εἰς τὴν ξηρανθεῖσαν συκῆν. Ἀρχ. «Ὀφθαλμὸς μὲν ὁρῶν» κτλ., φ. 97β. Παρέπονται πολλαὶ ἕτεραι ὁμιλίαι τοῦ αὐτοῦ Ἰωάννου τοῦ Χρυσοστόμου μέχρι τοῦ 227-ου φύλλου.—θ') Ἐφραὶμ τοῦ Σύρου λόγος εἰς τὴν μεταμόρφωσιν τοῦ Κυρίου. Ἀρχ. «Ἐκ τῆς χώρας θέρος» κτλ., φ. 229.—ι') «Βίος ἐν συντόμῳ τοῦ ἁγίου πατρὸς ἡμῶν Εὐφροσύνου τοῦ Μαύρου». Ἀρχ. «Οὗτος ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Εὐφρόσυνος» κτλ., φ. 237. Ἐλλείπει τῷ κώδικι τὸ τέλος τούτου τοῦ

βίου.—ια') Μαρτύριον τῆς ἁγίας Αἰκατερίνης. Ἀρχ. «Ἔτους τριακοστοῦ πέμπτου βασιλεύοντος τοῦ ἀσεβοῦς Μαξεντίου» κτλ., φ. 241-257. Κείμενον ἀτελές.

189. Τεῦχος χάρτινον ἐκ φύλλων 229, μήκους 0,205, πλ. 0,148. Ἐγράφη περὶ τὴν ἀρχὴν τῆς ιη' ἑκατονταετηρίδος.

1. «Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου κυρίου Θεοδοσίου τοῦ Κορυδαλλέως, πρώην μητροπολίτου Ναυπάκτου καὶ Ἄρτης, ἔκθεσις συνοπτικὴ τῆς ὅλης συλλογιστικῆς πραγματείας». Ἀρχ. «Ὅσα ἕνεκά του κινεῖται», φ. 1.

2. «Τοῦ σοφωτάτου Κορυδαλλέως συνοπτικαὶ ἀποσημειώσεις εἰς τὸ περὶ ἑρμηνείας τοῦ Ἀριστοτέλους». Ἀρχ. «Ἐπὶ πάσης διδασκαλίας καὶ τέχνης», φ. 118.

3. «Τοῦ αὐτοῦ σοφωτάτου Κορυδαλλέως σύντομοι σχολαστικαὶ ἑρμηνεῖαι εἰς τὰ τοῦ Ἀριστοτέλους πρότερα ἀναλυτικά». Ἀρχ. «Φωναὶ μὲν ἡ πᾶσα τῆς λογικῆς πραγματείας ὕλη», φ. 151.

4. «Τοῦ αὐτοῦ Κορυδαλλέως εἰς τὰ ὕστερα τοῦ Ἀριστοτέλους ἀναλυτικά». Ἀρχ. «Τὸ ἀναγκαιότατον εἰς θήραν τοῦ ἀληθοῦς», φύλ. 129.

5. «Ἑπτὰ ἡλικίαι τῶν ἀνθρώπων, κατὰ τὸν Ἱπποκράτην», φύλ. 299.

190. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατ. ἐκ φύλλων 198, μήκους 0,20, πλ. 0,15. Τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 23 (0,155 × 0,10). Φύλλα ἄγραφα· 123-126, 142.

1. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου, ἀρχιεπισκόπου Ἀλεξανδρείας, περὶ τῆς ἀρχαιότητος Μωσέως καὶ τῶν παρ' Ἑβραίοις προφητῶν, ἐκ τοῦ πρὸς τὰ τοῦ ἐν ἀθέοις Ἰουλιανοῦ λόγου α'». Ἀρχ. «Ὁ τοίνυν Μωσῆς ὁ θεσπέσιος», φ. 1.—«Περὶ τοῦ αὐτοῦ ἀπὸ τῶν Εὐσεβίου τοῦ Παμφίλου». Ἀρχ. «Μωσέως πέρι καὶ τῆς τῶν μετ' αὐτὸν προφητῶν ἀρχαιότητος» κτλ., φ. 6β. — «Ἀπὸ τοῦ τρίτου τῶν Ἀφρικανοῦ χρονογραφιῶν». Ἀρχ. «Μέχρι μὲν ὀλυμπιάδων οὐδὲν ἀκριβὲς ἱστόρηται», φ. 10α.—«Ἀπὸ τοῦ πρὸς Ἕλληνας Τατιανοῦ περὶ τοῦ αὐτοῦ». Ἀρχ. «Νῦν δὲ προσήκειν μοι

νομίζω παραστῆσαι» κτλ., φ. 12α.—«Ἀπὸ τοῦ πρώτου τῶν Κλήμεντος στρωματέων περὶ τοῦ αὐτοῦ». Ἀρχ. «Εἴρηται μὲν οὖν ἀκριβῶς Τατιανῷ», φ. 16α.—«Ἀπὸ τοῦ πρώτου τῶν Φλαυίου Ἰωσήπου περὶ τῆς τῶν Ἰουδαίων ἀρχαιότητος». Ἀρχ. «Ἄρξομαι δὲ πρῶτον ἀπὸ τῶν παρ' Αἰγυπτίοις γραμμάτων», φ. 18β.—«Ὡς ἀπάσης τῆς παρ' Ἑβραίοις ἱστορίας νεώτεροι τυγχάνουσι τῶν παρ' Ἕλλησι φιλοσόφων οἱ χρόνοι». Ἀρχ. «Ἀλλὰ τί δεῖ πλῆθος ταῖς ἀποδείξεσιν» κτλ., φ. 20α.—«Ὡς τὰ πάντα παρὰ Βαρβάρων Ἕλληνες ὠφέληνται». Ἀρχ. «Πρῶτος τοιγαροῦν ὁ τὰ κοινὰ γράμματα» κτλ., φ. 22β.—«Περὶ τοῦ αὐτοῦ ἀπὸ τῶν Κλήμεντος». Ἀρχ. «Ἰατρικὴν δὲ Ἆπιν Αἰγύπτιον» κτλ., φ. 23β.—«Ἰωσήπου περὶ τοῦ αὐτοῦ». Ἀρχ. «Πρῶτον οὖν ἐπέρχεταί μοι πάνυ θαυμάζειν» κτλ., φ. 24β.—«Ἔτι περὶ τοῦ αὐτοῦ ἀπὸ τῶν Διοδώρου». Ἀρχ. «Τούτων δ' ἡμῶν διευκρινημένων, ῥητέον ὅσοι τῶν παρ Ἕλλησι δεδοξασμένων» κτλ., φ. 26β. — «Δημητρίου περὶ τοῦ Ἰακώβ». Ἀρχ. «Ἀπίωμεν δὲ πάλιν ἐπὶ τὸν πολυΐστορα. Δημήτριός φησι τὸν Ἰακὼβ γενόμενον» κτλ., φ. 28β.

2. «Βίος τοῦ ἁγίου εὐαγγελιστοῦ Ματθαίου, κατὰ Σωφρόνιον». Ἀρχ. «Ματθαῖος ὁ καὶ Λευὶς ἀπόστολος», φ. 31α.—«Τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Βουλγαρίας κυρίου Θεοφυλάκτου προοίμιον εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον». Ἀρχ. «Οἱ μὲν οὖν πρὸ τοῦ νόμου ἐκεῖνοι θεῖοι ἄνδρες», φ. 31α. —«Τοῦ κατὰ Ματθαῖον εὐαγγελίου τὰ κεφάλαια», φ. 32β.—«Βίος τοῦ Μάρκου, κατὰ Σωφρόνιον». Ἀρχ. «Μάρκος μαθητὴς καὶ ἑρμηνευτὴς» κτλ., φ. 33β.— «Βίος τοῦ Μάρκου ἐκ τῆς τοῦ Δωροθέου μάρτυρος καὶ Τυρίων ἐπισκόπου συνόψεως». Ἀρχ. «Μάρκος ὁ εὐαγγελιστὴς καὶ πρῶτος Ἀλεξανδρείας ἐπίσκοπος», φ. 34α.—«Θεοφυλάκτου ἀρχιεπισκόπου Βουλγαρίας ὑπόθεσις εἰς τὸ κατὰ Μάρκον εὐαγγέλιον». Ἀρχ. «Τὰ κεφάλαια τοῦ κατὰ Μάρκον εὐαγγελίου», φ. 35α. — «Βίος τοῦ Λουκᾶ, κατὰ Σωφρόνιον». Ἀρχ. «Λουκᾶς ἰατρὸς Ἀντιοχεύς», φ. 35β.—«Βίος Λουκᾶ τοῦ εὐαγγελιστοῦ ἐκ τῆς Δωροθέου μάρτυρος Τυρίων ἐπισκόπου συνόψεως». Ἀρχ. «Λουκᾶς ὁ εὐαγγελιστὴς Ἀντοχεὺς μὲν τὸ γένος ἦν», φ. 36α. — «Θεοφυλάκτου ἀρχιεπ.

Βουλγαρίας ὑπόμνημα εἰς τὸ κατὰ Λουκᾶν εὐαγγέλιον». Ἀρχ. «Λουκᾶς ὁ θεῖος Ἀντιοχεὺς μὲν ἦν» κτλ., φ. 36β. — «Τὰ κεφάλαια τοῦ κατὰ Λουκᾶν εὐαγγελίου», φ. 36β.—«Βίος τοῦ Ἰωάννου ἐκ τοῦ Σωφρονίου». Ἀρχ. «Ἰωάννης, ὃν Ἰησοῦς πάνυ ἠγάπησεν», φ. 37β.—«Βίος Ἰωάννου τοῦ εὐαγγελιστοῦ ἐκ τῆς τοῦ Δωροθέου μάρτυρος καὶ Τυρίων ἐπισκόπου συνόψεως». Ἀρχ. «Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ», φ. 38α. — «Θεοφυλάκτου ἀρχιεπ. Βουλγαρίας ὑπόμνημα εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον». Ἀρχ. «Ἡ τοῦ ἁγίου πνεύματος δύναμις», φ. 38β.—«Τὰ κεφάλαια τοῦ κατὰ Ἰωάννην εὐαγγελίου», φ. 39β.—«Ἀποδημία Παύλου τοῦ ἀποστόλου». Ἀρχ. «Ἀπὸ Δαμασκοῦ ἤρξατο», φ. 40α. — «Εὐθαλίου διακόνου περὶ τῶν χρόνων τοῦ κηρύγματος τοῦ ἁγίου Παύλου καὶ περὶ τῆς διὰ μαρτυρίου αὐτοῦ τελειώσεως». Ἀρχ. «Ἀναγκαῖον ἡγησάμην», φ. 40β.—«Ἔκθεσις κεφαλαίων τῶν Πράξεων τῶν Ἀποστόλων», φ. 42α.—«Τῶν δώδεκα ἀποστόλων τὰ ὀνόματα καὶ ποῦ ἐκήρυξαν τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ καὶ πῶς ἐτελειώθησαν». Ἀρχ. «Πρῶτος Σίμων Πέτρος ὁ τῶν ἀποστόλων κορυφαῖος», φ. 45α.—Ἰαμβεῖον ἀνεπίγραφον εἰς τὸν ἀπόστολον Παῦλον ἐκ στίχων 120. Ἀρχ. «Ὁ Παῦλος ὁ ἄυλος ἐκ τῶν πραγμάτων | ἢ γραμμάτων πέφηνε τῇ διαστάσει» κτλ., φ. 47α. Εἶτα αἱ ὑποθέσεις καὶ τὰ κεφάλαια τῶν ἐπιστολῶν Παύλου καὶ τῶν καθολικῶν ἐπιστολῶν.

3. «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γερμανοῦ, οἰκουμενικοῦ πατριάρχου, πρὸς Ἄνθιμον τὸν θεοφιλέστατον διάκονον τῆς τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας, λόγος δογματικὸς περί τε τῶν ἁγίων συνόδων καὶ τῶν κατὰ καιροὺς ἀνέκαθεν τοῦ ἀποστολικοῦ κηρύγματος ἀναφανεισῶν αἱρέσεων». Ἀρχ. «Σοφῶν ἀνδρῶν αἱ ἐρωτήσεις», φ. 67α. Migne τ. 97, σ. 40.

4. «Ἔκθεσις τῶν ἁγίων πασῶν συνόδων κατὰ τὴν τάξιν τῶν χρόνων, καθ' οὓς συνέστησαν». Ἀρχ. «Ἐν τοῖς χρόνοις Αὐρηλιανοῦ», φ. 90α.

5. Ἀνώνυμα ἰαμβικὰ ποιήματα, φ. 98α-122β.—α') «Εἰς τὰ εἰσόδια τῆς ὑπεραγίας Θεοτόκου» στίχοι 35. Ἀρχ. «Ὦ τῶν ὑπὲρ νοῦν δεσποτικῶν θαυμάτων», φ. 98α.—β') «Ἕτερον εἰς τὸν εὐαγ-

*

γελισμὸν τῆς ὑπεραγίας Θεοτόκου» ἐκ στίχων 49. Ἀρχ. «Ὢ θαῦμα καινόν, πῶς βροτοὺς ξενοτρόπως» κτλ., φ. 98α.—γ') «Εἰς τὸ γενέθλιον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ» στίχοι 29. Ἀρχ. «Γενάρχας, οὓς πρὶν δυσκλεῶς», φ. 98β.—δ') «Ἕτερον εἰς τὸ γενέθλιον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ» ἐκ στίχων 68. Ἀρχ. «Καὶ τίσι καλοῖς δεξιωθῶμεν πλέον», φ. 99α.—ε') «Εἰς τὴν Ὑπαπαντὴν» στίχοι 55. Ἀρχ. «Σῶφρον Συμεών, πρεσβυτικὴ καρδία», φ. 100α.—ς') «Εἰς τὸ ἅγιον βάπτισμα» στίχοι 14. Ἀρχ. «Χιτῶνας, οὓς πρὶν ἐνδιδύσκει» κτλ., φ. 100β.—ζ') «Εἰς τὰ βαΐα» στίχοι 39. Ἀρχ. «Αἰνοῦσι τὸ πρὶν Ἀγγέλων στρατηγίαι», φ. 100β.—Εἶτα στίχοι εἰς τὴν Μεταμόρφωσιν, εἰς τὸν Σταυρόν, εἰς τὴν Ἀνάστασιν, εἰς τὴν Πεντηκοστήν, εἰς Ἰωάννην τὸν Θεολόγον, εἰς τὸν μέγαν Βασίλειον, εἰς τὴν ἀποτομὴν Ἰωάννου τοῦ Προδρόμου, εἰς τὸν ἅγιον Δημήτριον, εἰς τὸν αὐτὸν ἅγιον Δημήτριον, εἰς τὸν ἅγιον Γεώργιον, εἰς τὴν βίβλον τῶν μὴ ἀναγινωσκομένων λόγων Γρηγορίου τοῦ Θεολόγου, εἰς τὴν βίβλον τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτου, εἰς τὴν χρονικὴν βίβλον Ἰωάννου τοῦ Ζωναρᾶ, εἰς τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν, εἰς τὸ περὶ ψυχῆς τοῦ Ἀριστοτέλους ὑπόμνημα, εἰς τὴν φυσικὴν ἀκρόασιν τοῦ αὐτοῦ, εἰς Κλεομήδην, εἰς τὸν ἀπόστολον Παῦλον, εἰς τὸν μέγαν Ἀθανάσιον, εἰς τὰ ἀσκητικὰ τοῦ μεγάλου Βασιλείου (δίς), εἰς τὴν Ἑξαήμερον τοῦ αὐτοῦ, εἰς τὸ ἐπίλοιπον τῆς Ἑξαημέρου, εἰς τὴν βίβλον τοῦ ἁγίου Γρηγορίου Νύσσης, εἰς τὴν ὑπὸ Ἰωάννου τοῦ Χρυσοστόμου ἐξηγηθεῖσαν βίβλον, εἰς τὴν τῶν Πράξεων τῶν Ἀποστόλων βίβλον, εἰς τὰς ιδ' ἐπιστολὰς τοῦ Παύλου, εἰς τὴν κατηχητικὴν βίβλον Θεοδώρου τοῦ Στουδίτου (δίς), εἰς τὴν Ἑλληνικὴν κακομύθειαν τὴν ἐλεγχομένην ὑπὸ Γρηγορίου τοῦ Θεολόγου, εἰς τὴν Δογματικὴν Πανοπλίαν, εἰς τὸ ἅγιον Εὐαγγέλιον, εἰς τὴν τοῦ ἁγίου Ἰσαὰκ βίβλον, εἰς τὴν τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ βίβλον, «πρὸς τὸν αὐτοκράτορα», εἰς βασκανίαν, «εἰς τὸν ἐμπρησμὸν τὸν ἐν τῇ Πόρτῃ», εἰς τὸν ἅγιον Ὀνούφριον, «τῷ οἰκουμενικῷ πατριάρχῃ (Νήφωνι) εἰς τὸν παραλυτικόν», εἰς τὸν ἅγιον Νικόλαον, εἰς τὸν αὐτοκράτορα, εἰς τὸν ἀρχάγγελον Μιχαήλ. Εἶτα πάλιν ὅλως ἀνε-

πίγραφα ἰαμβικὰ ποιημάτια μέχρι τοῦ 122-ου φύλλου. Τὰ κατόπι τούτου τέσσαρα φύλλα (123-126) ὅλως ἄγραφα.

6. «Βλαστάρεως περὶ τοῦ ἁγίου Πάσχα» κεφάλαια ιδ'. Ἀρχ. «Εἶτα τὰς μὲν ἄλλας τῶν ὑποθέσεων, ἃς τὸ προκείμενον ἀπαιτεῖ σύνταγμα» κτλ., φ. 127ᵅ. Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων, τ. VI, σ. 404.

7. «Κανόνιον δεικνύον ἐν ποίοις ἔτεσιν ἡ κατὰ τὸ Πάσχα πανσέληνος». Σύνταγμα, τ. VI, σ. 420.

8. Ματθαίου Βλαστάρεως «περὶ τοῦ Νομικοῦ Πάσχα καὶ τῆς περὶ τὴν πανσέληνον διαφωνίας». Ἀρχ. «Ἄριστα μὲν πάντων», φ. 137ᵅ. Σύνταγμα, τ. VI, σ. 419.

9. «Τοῦ σοφωτάτου Βλεμμίδους περὶ οὐρανοῦ καὶ ὅτι ὁ κόσμος οὐκ ἔστιν ἀΐδιος». Ἀρχ. «Τὸν οὐρανὸν ὅρον ἄνω εἶναι ἡ ἀνάπτυξις δηλοῖ τοῦ ὀνόματος», φ. 147-191.

10. Στίχοι δύο ἔχοντες οὕτως· «Ἁβροχίτων δ' ὁ φύλαξ θηροζυγοκαμψιμέτωπος. Ἁβρὸς δ' ἐν προχοαῖς Κύκλωψ φθογγάζετο μύρμηξ» (κῶδ. μόρμυξ), φ. 191ᵝ. Anthol. Palat. IX, 538, 539.—«Παύλου Σιλεντιαρίου εἰς τὰ ἐν Πυθίοις θερμὰ ἡμιάμβια δίμετρα καταληκτικά». Ἀρχ. «Βούλει μαθεῖν, ἄνθρωπε» κτλ., φ. 192ᵅ. E. Cougny, Epigrammatum Anthologia Palatina, τ. III, σ. 408, ἀριθ. 75.—«Εὐκλείδου γεωμετρικόν». Ἀρχ. «Ἡμίονος καὶ ὄνος», φ. 194ᵅ. Cougny ἔνθ. ἀνωτ. σ. 563, ἀριθ. 2. — «Ἀνὰ τρία μέτρων δοκοῦσι φέρειν. Εἰς τοὺς ἑπτὰ πλανήτας καὶ εἰς τὰς ἐν ἡμῖν δυνάμεις καὶ πάθη». Ἀρχ. «Ἑπτὰ πολυπλανέες», φ. 194. Cougny σ. 315, ἀριθ. 147. — «Εἰς τὸν Πτολεμαῖον». Ἀρχ. «Γαίης ἐν νώτοισιν», φ. 194. Cougny σ. 314, ἀριθ. 146. — «Ἑρμοῦ τοῦ Τρισμεγίστου περὶ σεισμῶν· ἐν ἄλλῳ Ὀρφέως». Ἀρχ. «Φράζεο δὴ καὶ τόνδε λόγον», φ. 194. Cougny σ. 400, ἀριθ. 47. — Ἕτερα ἐπιγράμματα ἐκ τοῦ α' τμήματος τῆς Πλανουδείου Ἀνθολογίας εἰς τοὺς πλανήτας, εἰς τοὺς μῆνας καὶ εἰς τὸ ἔαρ, φ. 194ᵝ. — «Θέωνος μονόστιχον εἰς τὴν ἑβδομάδα», φ. 197ᵅ. Anthol. Palat. IX, 491.—Ἀνεπίγραφον. Ἀρχ. «Μέλπωμεν βασιλῆα», φ. 197ᵅ. Anthol. Palat. IX, 524.—Ἕτερον ἀνε-

πίγραφον. Ἀρχ. «Ὑμνείω παιᾶνα μέγαν θεόν», φ. 197^β. Anthol. Palat. IX, 525.

191. Τεῦχος χάρτινον ἐκ φύλλων 101 (μήκ. 0,197, πλ. 0,145), ὅπερ ἐγράφη ἔτει 1615-ῳ. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 25 (0,162×0,105).—Συγγραφαὶ λατινικαὶ τοῦ Averrois καὶ τοῦ Cremonini.

192. Μανουὴλ τοῦ Μαλαξοῦ νομοκάνων ἐκ κεφαλαίων σϟε'. Ἐγράφη ἔτει 1634-ῳ. Τεῦχος χάρτινον ἐκ φύλλων 244 (μήκους 0,195, πλάτους 0,142). Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 18 (0,14×0,09). Ἐν τῇ πρώτῃ σελίδι τοῦ 242-ου φύλλου· «Γέγραπται ἡ δέλτος αὕτη ἐν ἔτει ,αχλδῳ».

193. Τεῦχος χάρτινον ἐκ φύλλων 100 (μήκους 0,19, πλ. 0,145). Τὸ κείμενον μονόστηλον. Ἐν τῇ ἀρχῇ κεῖται χαλκότυπος ὁλοσέλιδος εἰκὼν τοῦ Καίσαρος Cremonini μετὰ χειρογράφου τινὸς σημειώματος, ἔχοντος ὧδε· «Ἐκ τῶν Δοσιθέου Ἱεροσολύμων καὶ δι' αὐτοῦ τοῦ Ἁγίου Τάφου 1673». Ἐγράφη δὲ τοῦτο τὸ τεῦχος περὶ τὴν ἀρχὴν τῆς ιζ' ἑκατ.—Caesaris Cremonini ζητήματα εἰς τὰ τρία πρῶτα βιβλία τῶν φυσικῶν τοῦ Ἀριστοτέλους.

194. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατ. ἐκ φύλλων ἀσελιδώτων 14 καὶ σελίδων ἠριθμημένων 220· ἔστι δὲ μήκους 0,205 καὶ πλ. 0,165. Τὸ κείμενον μονόστηλον. Ἐν τῇ ἀρχῇ κεῖται πίναξ ἀναγραφικὸς τῶν κεφαλαίων, ἐξ ὧν σύγκειται τὸ ἐν τῷ κώδικι τούτῳ περιεχόμενον βιβλίον· μετὰ δὲ τρία παντάπασιν ἄγραφα φύλλα ὑπάρχει τίτλος ἁπλῶς, ἔχων οὕτως· «Ἐγχειρίδιον πνευματικὸν τῶν λογιωτάτων καὶ σοφωτάτων ἱερομονάχων τε καὶ διδασκάλων Ἰωαννικίου καὶ Σωφρονίου αὐταδέλφων [1], τῶν ἐκ τῆς περιφήμου νήσου Κεφαλληνίας, πρὸς ὑπεράσπισιν τῆς ἁγίας τοῦ Χριστοῦ Ἀνατολικῆς Ἐκκλησίας, ἐκδοθὲν ἐν τῇ Μοσχοβίᾳ ἐπὶ τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου τῆς Μοσχοβίας καὶ πάσης

[1] Ἀλεξάνδρου Λασκάρεως ἱστορικὴ ἔποψις περὶ τῆς ἐν Μόσχᾳ Ἑλληνικῆς Ἀκαδημίας κατὰ τὸν ιζ' καὶ ιη' αἰῶνα, ἤτοι περὶ τῶν ἀδελφῶν Λειχουδῶν Ἰωαννικίου καὶ Σωφρονίου. Ὁ ἐν Κωνσταντινουπόλει Ἑλληνικὸς Φιλολογικὸς Σύλλογος, 1864, τ. II, σ. 24-44. Κ. Σάθα Νεοελληνικὴ Φιλολογία, σ. 358-371.

Ῥωσσίας καὶ πάντων τῶν βορείων μερῶν κὺρ Ἰωακεὶμ ἔτει ἀπὸ θεογονείας Χριστοῦ ͵αχϟ῀ [=1690], ἐπὶ δὲ τοῦ μετ' αὐτὸν μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου κὺρ Ἀδριανοῦ διορθωθὲν ἐν τῇ σλαβανικῇ διαλέκτῳ κατὰ τὸ αὐτὸ ἔτος ἐν μηνὶ φευρουαρίῳ». Καὶ οὗτος μὲν ὁ τίτλος εὑρίσκεται ἐπὶ τῆς προσθίας σελίδος ἑνὸς ὅλου φύλλου, μεθ' ὃ κεῖται «Ὑπόθεσις τῶν ἐν τῷδε τῷ βιβλίῳ εὑρισκομένων διαλόγων», ἧς ἡ ἀρχή· «Ἔστοντας καὶ ὁ ἄνθρωπος ὀλίγον ὕστερον» κτλ. Αὕτη δὲ ἡ ὑπόθεσις περιέχεται ἐν τέσσαρσι φύλλοις· μεθ' ἃ πάλιν ἕτερα τρία φύλλα παντάπασιν ἄγραφα καὶ μετὰ ταῦτα πάλιν ἕτερα δύο, περιέχοντα ἐν ἑαυτοῖς «Ἴσον ἀπαράλλακτον τοῦ συνοδικοῦ συστατικοῦ γράμματος». Μετὰ δὲ τοῦτο τὸ γράμμα σελίδες ἁπαντῶσιν ἠριθμημέναι 220, ὧν ἡ μὲν πρώτη κατέχεται ὑπὸ προλόγου (οὗ ἡ ἀρχή· «Οὗτοι οἱ διάλογοι, ὦ φιλομαθέστατοι ἀναγινώσκοντες, λατινιστὶ ἔγινον μὲ ἐκείνους» κἑ), αἱ δὲ λοιπαὶ πᾶσαι περιέχουσιν ἐν ἑαυταῖς ἐκτενέστατόν τι βιβλίον, ταύτην ἐπὶ κεφαλῆς ἔχον τὴν δήλωσιν· «Εἴσοδος τῶν διαλόγων τῶν ἐν προοιμίοις ῥηθέντων διδασκάλων Ἰωαννικίου καὶ Σωφρονίου αὐταδέλφων Λειχουδῶν τῶν Κεφαλληνέων μετὰ τοῦ Ῥούτκα Ἰησουΐτου καί τινων ἄλλων τοῦ λατινικοῦ δόγματος ἐν τῇ Πολωνίᾳ· ἐν σχήματι ἀνωνύμως Γραικοῦ διδασκάλου καὶ Ἰησουΐτου». Ἀρχ. «Ἰησουΐτης. Ὦ φίλε, ἐπειδὴ καὶ ἐλάχομεν εἰς ταύτην τὴν κατοικίαν ξενοδοχούμενοι» κτλ. [1] Τὸ δὲ προρρηθὲν πατριαρχικὸν γράμμα, πρὸς τοὺς ἀδελφοὺς ἀναφερόμενον Λειχούδας, ἔχει κατὰ λέξιν οὕτω· «Διονύσιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.—Ἱερώτατοι μητροπολῖται καὶ ὑπέρτιμοι, καὶ θεοφιλέστατοι ἀρχιεπίσκοποι, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ ἀδελφοὶ καὶ συλλειτουργοί, θεοφιλέστατοι ἐπίσκοποι, ἐκλαμπρότατοι καὶ εὐσεβέστατοι αὐθένται καὶ τοπάρχαι, υἱοὶ ἐν Κυρίῳ ἀγαπητοὶ τῆς ἡμῶν Μετριότητος, ἐντιμότατοι κληρικοὶ πασῶν τῶν ἐπαρχιῶν, αἰδεσιμώτατοι καθηγούμενοι τῶν σεβασμίων μονα-

[1] Οὗτοι οἱ διάλογοι πραγματεύονται περὶ τῆς ἀρχῆς τοῦ πάπα, περὶ τοῦ βαπτίσματος, περὶ τοῦ ἐνζύμου καὶ τοῦ ἀζύμου ἄρτου, περὶ τῆς τῶν ἁγίων ἀπολαύσεως, περὶ τοῦ καθαρτηρίου πυρός, περὶ τοῦ γάμου τῶν ἱερέων, περὶ τῆς τοῦ Σαββάτου νηστείας κτλ.

στηρίων καὶ ἀρχιμανδρῖται, εὐλαβέστατοι ἱερεῖς, ὁσιώτατοι ἱερομόναχοι, εὐγενέστατοι ἄρχοντες καὶ λοιποὶ χριστιανοί, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ ἡμῶν, χάρις εἴη ὑμῖν ἅπασι καὶ εἰρήνη καὶ ἔλεος παρὰ Θεοῦ κυρίου παντοκράτορος καὶ παρὰ τῆς ἡμῶν μετριότητος εὐχή, εὐλογία καὶ συγχώρησις.—Τὸ μὲν δένδρον ἐκ τοῦ ἰδίου καρποῦ πέφυκε γινώσκεσθαι, ὁποίας ἂν εἴη φύσεως, ὁ δὲ ἄνθρωπος ἐκ τῶν ἰδίων ἐπιχειρημάτων τε καὶ ἐνεργειῶν. Ἀλλὰ τὸ δένδρον προσεχῶς ἐκ τοῦ καρποῦ γνωριζόμενον ἀμεριμνίαν ὑποτίθησι τῆς αὐτοῦ εὐκαρπίας· ὁ δὲ ἄνθρωπος φρέαρ βαθύτατον ὢν οὐκ ἀθρόως ἀποδίδωσι τὰς ἐνεργείας τῶν αὐτοῦ πράξεων, τεκμήρια σαφῆ καὶ ἀναμφισβήτητα τῆς αὐτοῦ διαθέσεως, ἀλλὰ καὶ χρόνου καὶ πείρας δεῖται πρὸς κατάληψιν τῆς αὐτοῦ γνώμης τε, καὶ καταστάσεως καὶ οὐκ εὐχερῶς καταδηλοῦται ἡ ἐνδομυχοῦσα τούτῳ προαίρεσις. Ἡνίκα δὲ καὶ πείρᾳ καὶ χρόνῳ καὶ ἐρεύνῃ οὐκ ἀγενῆ τὰ τῆς διαθέσεως κρίνεται, οὐ μὴν ἀλλ' εἰ καὶ αἱ φῆμαι διατρέχουσιν ἀγαθαὶ ἀγαθοεργιῶν πέρι καὶ μαρτυρίαι διασώζουσι τὴν λαμπρότητα τῆς εὐκαρπίας τῶν ἐναρέτων πράξεων, λαμπρῶς διατρανοῦσι τὴν ἀγαθὴν προαίρεσιν καὶ τὴν ἐνδομυχοῦσαν κατάστασιν ὡς ἀγαθὴν ἀνακηρύττουσιν. Ὅθεν καὶ οἱ ἐπιφέροντες τὸ παρὸν λογιώτατοι διδάσκαλοι καὶ κήρυκες τοῦ Εὐαγγελίου καὶ ὁσιώτατοι ἱερομόναχοι καὶ πνευματικοί, κὺρ Ἰωαννίκιος καὶ κὺρ Σωφρόνιος, ἀπὸ τῆς περιφήμου πολιτείας τῆς Κεφαλληνίας ὁρμώμενοι, ἀδελφοὶ καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς καὶ τοῖς μαθήμασι, σχολάσαντες ἐν τῇ ἱερᾷ σπουδῇ ἱκανῶς καὶ ἐγκρατεῖς γενόμενοι φιλοσοφικῶν τε καὶ θεολογικῶν μαθημάτων, ὥστε δύναμιν ἐσχηκέναι ἀρκοῦσαν, μαθητάς τε διδάσκειν καὶ τὸ ἱερὸν Εὐαγγέλιον κηρύττειν τοῖς εὐσεβέσιν ὀρθοδόξως καὶ εὐσεβῶς, ἐμπειρίαν τε οὐκ ὀλίγην ἐκ τῶν Γραφικῶν βιβλίων ἀναλεξάμενοι καὶ πανταχόθεν ἱεροῖς κοσμήμασιν ἱερῶς κατακοσμηθέντες, δεῖν ἔγνωσαν ἐξελθεῖν τῆς σφῶν πατρίδος καὶ περιελθεῖν καὶ ἐν ἀλλοδαπαῖς οὐ μόνον περιηγήσεως χάριν, ἀλλὰ καὶ πολλαπλασιασμοῦ τοῦ ἐν αὐτοῖς διδασκαλικοῦ ταλάντου καὶ ὠφελείας τῶν χριστιανῶν. Καὶ δὴ χρόνον ἱκανὸν ἐν τῇ Βασιλευούσῃ διατρίψαντες καὶ γνωσθέντες, ὅτι τῆς ἀγαθῆς μερίδος

εἰσὶ καὶ ὑπέρμαχοι τῶν δογμάτων τε καὶ διδαγμάτων τῆς Ἀνατολικῆς Ἀποστολικῆς καὶ Καθολικῆς Ἐκκλησίας, οὐκ ἐπὶ θάτερα ἀποκλίνοντες, ἀλλὰ τὴν μέσην καὶ βασιλικὴν ὁδὸν ὀρθοδόξως βαδίζοντες, ἀποκυήματα γνήσια τῆς πρωτοτύπου Ἀνατολικῆς Ἐκκλησίας, ῥύπου δογμάτων παντελῶς καθαρεύοντες, ἁγνοὶ καὶ ταῖς ψυχαῖς καὶ τοῖς δόγμασι, καθαρὰς τὰς ἐμφάσεις ὡς δι' ἐσόπτρου τῶν αὐτῶν ἔργων τε καὶ διδασκαλιῶν τῶν ἐν ταῖς ψυχαῖς αὐτῶν ἐγκεκολαμμένων ἀρετῶν τῆς ἀμωμήτου ἡμῶν πίστεως παρεχόμενοι, προφθανούσης πρὸς τούτοις καὶ τῆς εὐφήμου φήμης αὐτῶν καὶ πιστουμένης ὅσα καὶ διὰ τῶν αὐτῶν πράξεων ἡμῖν ἐπεπίστευτο, οἷα καὶ πρόκεινται τοῖς ὀφθαλμοῖς τῶν ὁρώντων ἐν σεμνῷ ψυχῆς καταστήματι καὶ ἐν ἱματισμῷ καὶ σχήματι θεοκηρύκων ἀνδρῶν. Διὰ ταῦτα καὶ ἐνώπιον ἡμῶν καὶ τοῦ χοροῦ τῶν ἱερωτάτων ἀρχιερέων καὶ τῶν σοφωτάτων κληρικῶν ἐπὶ τοῦ ἱεροῦ ἄμβωνος τὰ ἱερὰ ἀνέθεντο λόγια τοῖς χριστιανοῖς καὶ πείρᾳ τε καὶ χρόνῳ καὶ ἐρεύνῃ οὐκ ἀγενεῖ δοκιμασθέντες ἀκτῖνας ἀκραιφνεῖς τῆς ὀρθοδοξίας διαπρυσίως ἐξελάμψαντο· καὶ κατὰ μίμησιν τῶν ἱερῶν θεοκηρύκων ἀποστολικοῖς ἴχνεσιν ἐξακολουθεῖν πειρώμενοι, καὶ ἀπὸ τῆς Βασιλευούσης ἐξερχόμενοι καὶ εἰς ἀλλοδαπὰς ἀπερχόμενοι, καὶ νόμοις ἀρχαίοις πειθόμενοι, συστατικὰ παρ' ἡμῶν ἐξητήσαντο γράμματα, χρῆμα ἀναγκαιότατον ὑπέρ τι ἄλλο τῶν καθ' ἡμᾶς, διασαφοῦν δηλονότι τὴν ἐν προοιμίοις μὴ κατάδηλον ἀρετὴν τῶν ἀνδρῶν, ἐφ' ᾧ ἀπὸ πρώτης ἀφετηρίας τὸ καλὸν ὡς καλὸν καὶ ὑπολαμβάνοιτο καὶ καταλαμβάνοιτο, κἀντεῦθεν τὴν προσήκουσαν τιμὴν ἀποδρέποιντο παρ' ὧν καὶ εἰσέρχονται καὶ ἐξέρχονται. Καὶ δὴ γράφοντες συνοδικῶς συνιστῶμεν διὰ τοῦ παρόντος ἅπασι τοῖς εὐσεβέσι τούτους τοὺς διαληφθέντας διδασκάλους, ἀρχικοῖς τε καὶ μὴ τοιούτοις, καὶ καταδήλους αὐτοὺς τοῖς τε πόρρω καὶ ἐγγὺς ἀποκαθιστῶμεν καὶ διαμαρτυρούμεθα ὀρθοδοξίας ἐχομένους καὶ ἀρετῆς καὶ διδασκαλικοῦ χαρίσματος, ἱκανοὺς πρός τε μαθημάτων ἔκδοσιν καὶ τοῦ ἱεροῦ Εὐαγγελίου ὀρθόδοξον διακήρυξιν, καὶ πρὸς ἀποδοχὴν λογισμῶν τῶν προσερχομένων αὐτοῖς χάριν ἐξομολογήσεως χριστιανῶν, ἱκανοὺς διόρθωσίν τε καὶ

διαίτησιν τῶν πλημμελῶς διαπραχθέντων ἐκείνοις· καὶ δεδώκαμεν ἄδειαν, ὅπου ἂν ὦσι, μετ' εἰδήσεως τοῦ κατὰ τόπον ἐκκλησιαστικῶς προϊσταμένου πράττειν τὰ τῆς ἱερωσύνης καὶ ἐνεργεῖν καὶ τὸν λόγον τοῦ Θεοῦ κηρύττειν ἐπ' ἐκκλησίας καὶ τοὺς λογισμοὺς δέχεσθαι τῶν χριστιανῶν, καὶ οἰκονομεῖν ἐν κρίσει καὶ ἀπολαμβάνειν τῆς προσηκούσης τιμῆς παρὰ πάντων, ἱερωμένων καὶ διδασκάλων (φησὶ γὰρ ὁ θεῖος ἀπόστολος· "μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ διπλῆς τιμῆς ἀξιούσθωσαν"), καὶ καρποῦσθαι τῆς παρ' ὑμῶν τῶν φιλελεημόνων εὐσεβῶν ἐλεημοσύνης χάριν τῶν πρὸς σωματικὴν αὐτῶν περίθαλψιν ἀναγκαίων (φησὶ γὰρ ὁ αὐτὸς θεῖος ἀπόστολος· "οὐ μέγα, εἰ ἡμεῖς ὑμῖν ἐσπείραμεν τὰ πνευματικά· θερίσωμεν ἐξ ὑμῶν τὰ σωματικά"), συμβοηθούμενοί τε καὶ συντρεχόμενοι παρ' ὑμῶν πάντων, εἰσερχόμενοί τε καὶ ἐξερχόμενοι εἰς τὰ συντείνοντα πρὸς περίθαλψιν αὐτῶν καὶ ἀνάπαυσιν καὶ τιμήν, ἵνα ὁ μὲν Θεὸς δοξάζοιτο διὰ τῆς ἀγαθοεργίας ὑμῶν πρὸς τοὺς αὐτοῦ κήρυκας, ὑμεῖς δὲ πλουσίους παρ' αὐτοῦ τοῦ ἀξίου μισθαποδότου τοὺς μισθοὺς ἀντιλάβοιτε, ὡς φιλάρετοι καὶ φιλόχριστοι· οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος καὶ ἡ εὐχὴ καὶ εὐλογία τῆς ἡμῶν μετριότητος εἴη μετὰ πάντων ὑμῶν. ͵Αχπγ' [=1683], ἐν μηνὶ ἰουνίῳ ἰνδικτιῶνος ϛ^ης^. (Ὑπογραφαί). Ὁ Ἀλεξανδρείας πατριάρχης Παρθένιος.—Ὁ πατριάρχης πρώην Κωνσταντινουπόλεως Διονύσιος.— Ὁ ἐλέῳ Θεοῦ πατριάρχης Ἱεροσολύμων Δοσίθεος συναποφαίνεται καὶ συμμαρτυρεῖ. — Ὁ Ἡρακλείας Βαρθολομαῖος. — Ὁ Κυζίκου Κύριλλος.—Ὁ Χαλκηδόνος Ἱερεμίας. —Ὁ Προύσης Καλλίνικος.— Ὁ Λαρίσσης Μακάριος.—Ὁ Σοφίας Αὐξέντιος.—Ὁ Ῥόδου Παρθένιος.—Ὁ Διδυμοτείχου Γρηγόριος.—Ὁ Ῥοδοστοῦ Θεόφιλος.— Ὁ Δρύστης Γεννάδιος.—Σημείωσαι ὅτι ὁ οἰκουμενικὸς πατριάρχης ἀντὶ τοῦ ὀνόματος αὐτοῦ ἰδίᾳ χειρὶ ὑπογράφει τὸν μῆνα καὶ τὴν ἰνδικτιῶνα μόνον, ὡς ἄνωθεν».

195. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατ. ἐκ φύλλων 185 (μήκους 0,196, πλ. 0,138), ὧν τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 15 (0,112 × 0,075). — Ὡρολόγιον τοῦ Θηκαρᾶ μετὰ τῆς ἐπιγραφῆς· «Ἀκολουθία τοῦ Θικαρᾶ». Ἀρχ. «Μετὰ τὸ (κῶδ. τῷ) Εὐλογητὸς Βασιλεῦ οὐράνιε» κτλ.

196. Τεῦχος χάρτινον ἐκ φύλλων 212 (μήκους 0,20, πλ. 0,145)· ἐγράφη ἔτει 1673-φ· ἐδόθη δὲ καὶ τοῦτο «διὰ Χρυσάνθου πρεσβυτέρου (τοῦ Νοταρᾶ) τῷ Παναγίῳ Τάφῳ». Ἐν τῇ προσθίᾳ σελίδι τοῦ 1-ου φύλλου περιέχεται κόσμημά τι πιοειδὲς καὶ ἡ τοῦ τεύχους ἐπιγραφή, ἥτις ἔχει οὕτω· «Τὸ παρὸν βιβλίον εσήνθεσεν εἰς εληνικὴν γλῶτταν ὁ φιλόχριστος βασιλεὺς ἡμῶν κύριος Ἰωάννης ὁ Κανταχουζηνός, ὁποῦ ὕστερον ονομάσθηκεν διατουθείου καὶ ἀγγελικοῦ σχήματος Ιωᾶσαφ μοναχός. εἰς τοὺς ‚ατξ' χρόνους ἀπὸ τὴν ἔνσαρκον οἰκονομίαν. μετεφράσθη δὲ εἰς κοινὴν γλῶτταν ὑπὸ Μελετίου Συρήγου. ‚αχλε'. δεκεμβρίου α̅ῃ εἰς Μολδοβλαχίαν με παρακίνησι τοῦ ἐκλαμπροτάτου αὐθεντὸς πάσης Μολδοβλαχίας κυρίου Ἰωάννου Βασιλείου βεωβόνδα». Ἐν δὲ τῇ προσθίᾳ σελίδι τοῦ 212-ου φύλλου ὑπάρχει τὸ σημείωμα τοῦτο· «Ἐγράφι ἡ παροῦσα βίβλος ὑποχειρὸς χαμοῦ Κωνσταντήνου τοῦ ταπεινού ἀναγνόστου, ἀπὸ ἐπαρχίας Χαλκηδόνος καὶ ἐκ χώρας Χρισοπόλεως. μεπαρακήνησιν καὶ ἔξοδον του οσιοτάτου Μανασή μοναχοῦ υἱὸς Κυριάκη τοῦ Πέγιου. ἀπὸ ἐπαρχίας Χῆμαρας καὶ Δελβίνου καὶ ἐκ χώρας Ἅγιος Ἀνδρέας. εγράφι δὲ εἰς Μο(λ)δοβλαχίαν. αυθὲντέβοντος τοῦ ἐκλαμπροτάτου αὐθεντὸς κυρίου κυρίου Ἰωάννου Στεφάνου βεωβόνδα. εἰς τὸ μοναστήριον τοῦ ἁγίου Γεωργίου του Χλῆντζα ἀρχιερατεύωντος εν Μολδοβλαχίαν κυρίου Δοσιθέου:- καὶ ἀνεστὶν καὶ τινὰς λόγος ἐσφαλμένος εἰσυγχώρησιν ἔστω· δι(α)τή δὲν ἤμουν τόσον μαθηματικὸς εις την μάθησιν τῶν γραμμᾶτων. επιἔτους ‚αχω ο̅γ ἐν μηνὶ ἀπριλλίῳ κβ'».

197. Τεῦχος χάρτινον ἐκ φύλλων 184 (μήκους 0,20, πλ. 0,145), ὧν τὰ μὲν πρῶτα 178 ἐγράφη περὶ τὸ τέλος τῆς πεντεκαιδεκάτης ἑκατονταετηρίδος, τὰ δὲ ἔσχατα ἓξ φύλλα περὶ τὸ μέσον τῆς ὀκτωκαιδεκάτης· πρότερον ὅμως ἠρίθμει τοῦτο τὸ τεῦχος πολλῷ πλείω τῶν 184 φύλλων, ὡς ἔστιν εἰκάσαι ἐκ τῶν φανερῶν ἐλλειμμάτων τῶν ὑπαρχόντων μετὰ τὸ 69-ον, τὸ 87-ον καὶ τὸ 132-ον φύλλον· γραφεὺς δὲ τοῦ τεύχους ἐστὶν (φ. 1-89) ἀνὴρ ἐλλόγιμος, Μάξιμος ὀνομαζόμενος (ὅρα φύλλ. 82α), ἴσως δὲ ὁ πατριάρχης γενόμενος οἰκουμενικὸς ἔτει 1476-ῳ.

1. «Θεοδώρου τοῦ Γαζῆ» ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Περὶ δὲ ἑκουσίου καὶ ἀκουσίου ἀπορήσειεν ἄν τις εἰς τὰ καθ' ἕκαστα» κτλ., φ. 1α. Τέλος· «ἄμφω γὰρ τὼ ἄνδρε σοφὼ καὶ αἰδοῦς ἀξίω».

2. Ἀνεπίγραφον· ἀλλ' ἐν τῇ ᾤᾳ τοῦ κώδικος ὁ καλλιγράφος ἔγραψε τὸ σημείωμα τοῦτο· «Οἶμαι Γεωργίου τοῦ Σχολαρίου εἶναι τὸ σύγγραμμα κατὰ Πλήθωνος». Ἀρχ. «Σκοποῦντί μοι, κράτιστε καὶ γαληνότατε ἡγεμόνων Κωνσταντῖνε, τί ἂν δέοι με προσφέρειν» κτλ., φ. 4-69. Τέλος· «ταῦτ' ἐν ἑνὶ συμφορέσαι βιβλίῳ συνέθηκέ τε καὶ ἀπεριμερίμνως ἐκδέδωκε».

3. «Πλήθωνος εἰς τὴν βασιλίδα Ἑλένην ἐπικήδειος». Ἀρχ. «Τῇ τῶν ἡμετέρων βασιλέων τε καὶ ἡγεμόνων μητρί», φ. 70α.

4. (Πλήθωνος) «περὶ τοῖν δυοῖν ἐναντίοιν λόγοιν τοῦ τε Πρωταγορείου καὶ τοῦ Πυρωνείου». Ἀρχ. «Λόγῳ δὲ δὴ ἐκείνῳ ἀλλήλοιν μὲν ἐναντιωτάτῳ» κτλ, φ. 71β. Πλήθωνος νόμων συγγραφῆς τὰ σῳζόμενα par C. Alexandre. Paris 1858, σ. 36 κέ.

5. (Πλήθωνος) «εὐχὴ εἰς θεοὺς τοὺς λογίους». Ἀρχ. «Ἄγετε δή, ὦ θεοὶ λόγιοι», φ. 72β. C. Alexandre σ. 44.

6. Πρόλογος καὶ πίναξ τῶν κεφαλαίων τῆς Πλήθωνος νόμων συγγραφῆς, διῃρημένης, κατὰ τοῦτον τὸν κώδικα, εἰς ϟγ' συνεχῆ κεφάλαια. Ἀρχ. «Ἡ βίβλος ἥδε θεολογίαν μὲν τὴν κατὰ Ζωροάστρην» κτλ., φ. 72β. Εἶτα τὸ «Περὶ διαφορᾶς τῶν περὶ τῶν μεγίστων ἀνθρώποις δοξῶν» κεφάλαιον (φ. 74β), ὅπερ ἐστὶ τὸ α' τοῦ πρώτου βιβλίου τῶν νόμων· καὶ μετὰ τοῦτο τὸ «Περὶ μέτρου τε καὶ συμμετρίας» ια' κεφάλαιον τοῦ τρίτου βιβλίου (φ. 74β). C. Alexandre σ. 2-14, 36-42, 84-86.

7. «Βησσαρίων καρδινάλις τῷ σοφῷ καὶ διδασκάλῳ Γεωργίῳ τῷ Γεμιστῷ εὖ πράττειν»· ἐπιστολή, ἧς ἀρχή· «Κοινῆς πᾶσιν ἐνεσπαρμένης ἐννοίας», φ. 76α.

8. «Ὁ Πλήθων τῷ Βησσαρίωνι». Ἀρχ. «Οὐ πάντας οἴεσθαι χρὴ τοὺς ἄνδρας τούτους» κτλ., φ. 77β. Fabricii-Harles, Bibl. Graeca, τ. XII, σ. 95.

9. «Γεώργιος ὁ Γεμιστὸς τῷ αἰδεσιμωτάτῳ καρδινάλει Βησ-

σαρίωνι». Ἀρχ. «Ἐπειδὴ καὶ μαρτυριῶν δέῃ πρὸς τὰ προγεγραμμένα σοι», φ. 80β. Fabricii-Harles, τ. XII, σ. 95.

10. «Ἀδήλου» περὶ εἱμαρμένης ἀνεπίγραφον· ἀλλ' ἐν τῇ ῴᾳ γέγραπται τὸ «Οἶμαι καὶ τοῦτο τοῦ Πλήθωνος εἶναι. Μάξι(μ)ος». Ἀρχ. «Πρότερα δὲ ὥρισταί τε καὶ εἵμαρται» κτλ., φ. 82α. C. Alexandre σ. 64.

12. «Διόρθωσις ἐνίων τῶν οὐκ ὀρθῶς ὑπὸ Στράβωνος λεγομένων». Ἐν τῇ ῴᾳ· «Τοῦ αὐτοῦ Πλήθωνος οἶμαι». Ἀρχ. «Οὔτε τὴν θάλατταν τὴν Κασπίαν ὀρθῶς οἴεται Στράβων τῷ Ὠκεανῷ συμβάλλειν» κτλ., φ. 83β. Fabricii-Harles, τ. XII, σ. 91.

12. «Ἀδήλου»· οὕτως ἐν τῇ ῴᾳ. — «Πῶς οἱ πλείους κακοί, τῆς ἀρετῆς κατὰ φύσιν ἡμῖν οὔσης, καὶ πῶς ἐπὶ τὸ ἁμαρτάνειν οὕτω ῥᾳδίως πάντες ὑποφερόμεθα; Λύσις». Ἀρχ. «Πρὸς δὴ τοῦτο πάλιν ἐροῦμεν, ὅσον γε ἡμῖν ἐφικτὸν» κτλ., φ. 85β.

13. Ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Ἀριστοτέλης τριττῶς τὸν νοῦν διακρίνει τὸν περὶ τὰ ἁπλᾶ καταγινόμενον» κτλ., φ. 86α.

14. «Πλήθωνος προσφωνημάτιον», οὗ ἡ ἀρχή· «Οὐκ ἦν παραπλήσια, ὦ θειότατε, τὰ τῶν πολέμων» κτλ. φ. 86β. Fabricii-Harles, τ. XII, σ. 92.

15. «Γεωργίου Γεμιστοῦ πρὸς τὰς τοῦ Σχολαρίου ὑπὲρ Ἀριστοτέλους ἀντιλήψεις». Ἀρχ. «Ἐγὼ μὲν οὐκ ὀψέ, ὥς γε σὺ φῄς, ἀλλ' ὅτε τὸ πρῶτον ᾐτήθην, εὐθὺς ἔπεμψα» κτλ., φ. 88-89. C. Alexandre σ. 293.

16. Φύλλον 90-ὸν μέχρι τοῦ 132-ου φ. Ἕτερον χειρόγραφον τῆς ιε' ἑκατ., ἀκέφαλον, ᾧ ἐλλείπει τὰ τρία πρώτιστα φύλλα ἐκ παλαιοῦ. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 25. Ἀκέφαλον ὑπόμνημα κατὰ Ἀριστοτέλους καὶ ὑπὲρ Πλάτωνος. Ἀρχ. « - - - αὐτοῦ διακηκόεσαν ἀναλαμβάνειν· ἀλλ' Ἀριστοτέλης φοιτητὴς γεγονὼς Πλάτωνι καὶ ἔπειτα ὑπὸ προσχήματι φιλοσοφίας σοφιστικὴν μετελθὼν» κτλ. Τέλος· «ἡμῖν δὲ σοῦ τὰ τοιαῦτα ἴσα καὶ κυνιδίου Μελιταίου τινὸς ὑλακαῖς λελόγισταί τε ἤδη καὶ αὖθις λογισθήσεται».

17. «Παράφρασις εἰς τὰ Ἠθικὰ τοῦ Ἀριστοτέλους». Ἀρχ.

«Τὰ μὲν θεωρητικὰ, ὧν τὸ τέλος ἀλήθεια, πέρας ἔχει» κτλ., φ. 133-178.

18. Φύλλον 179-ον μέχρι τοῦ 184-ου φ. Γράφιμον τῆς ιη' ἑκατ. Τεμάχη «Εὐτυχίου Ἀλεξανδρείας παρὰ τῆς Ἀράβων φωνῆς εἰς τὴν λατινίδα καὶ ἐκ ταύτης εἰς τὴν ἑλληνίδα μετενεχθέντα».

198. Τετράδια συνερραμμένα λίαν ἀτάκτως, φύλλα συναποτελοῦντα 149· ἐγράφη δὲ ταῦτα ἔτει 1557-ῳ (ὅρα φ. 118β) καὶ συνεδέθη βιβλίῳ τινὶ ἐντύπῳ, οὗ ἡ ἐπιγραφή· «Κλαυδίου Πτολεμαίου Πηλουσιέως τετράβιβλος σύνταξις, πρὸς Σύρον ἀδελφόν. Τοῦ αὐτοῦ Καρπός, πρὸς τὸν αὐτὸν Σύρον. Norimbergae MDXXXV». Ὁ κῶδιξ οὗτος, ὡς ἔχει, πρότερον ἦν «Χρυσάνθου ἱεροδιακόνου» τοῦ Νοταρᾶ. Ἐν τοῖς γραπτοῖς τετραδίοις περιέχεται ἑλληνιστὶ βιβλίον ἀστρονομικὸν τοῦ Ἀπομάσαρ.

199. Πέντε διάφορα τεύχη συνερραμμένα, μήκ. 0,195, πλ. 0,143.

α') «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου Ἀλεξανδρείας ἑρμηνεία εἰς τὸν προφήτην Ἀβδιοῦ» Ἀρχ. «Ἀβδιοῦ δὴ πάλιν προφητεύειν» κτλ., φ. 1-2 καὶ 56-58. Κείμενον ἀτελές, γραφὲν τῇ ιζ' ἑκατ.

β') «Ἑρμηνεία εἰς τὴν Σοφίαν τοῦ Σολομῶντος, ὥς φασιν παρὰ τοῦ Ὠριγένους ἑρμηνευθέντος». Ἀρχ. «Θεῖος ἡμῖν ὁ λόγος καὶ συμπάσης ὡς εἰπεῖν ἀνώτερος κτίσεως» κτλ., φ. 3-54. Ἐγράφη τῇ ις' ἑκατ. Γράφιμον λεπτότατον κανονικώτατον καὶ μετὰ πολλῶν συγκεκομμένων λέξεων· μία δ' ἑκάστη τῶν σελίδων ἐστὶ μονόστηλος ἐκ γραμμῶν 35. Ἐν τῇ ᾤᾳ, παρὰ τὸν τίτλον, ἀναγινώσκεται τὸ «Καὶ τοῦτο σὺν ἄλλοις Δημητρίου πρωτοκανονάρχου».

γ') Φύλλ. 59-66. Τετράδιον τῆς ις' ἑκατ. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 28.—1) Ἐρωταποκρίσεις κανονικαὶ νγ', ὧν ἡ ἀρχὴ ἐλλείπει. Ἀρχ. «Δέκατον, εἰ χρὴ λούεσθαι τὸν ἱερέα πρὸ τῆς λειτουργίας» κτλ., φ. 59-63.—2) «Τοῦ σοφωτάτου Γαληνοῦ δίαιτα ἀκριβὴς περὶ τῶν τεσσάρων στοιχείων τοῦ χρόνου καὶ περὶ καταστάσεως ὑγιεινῆς τοῦ ἀνθρώπου καὶ τῆς κατασκευῆς αὐτοῦ». Ἀρχ. «Πᾶσι τοῖς ἐθέλουσιν ὑγιεινῶς διάγειν» κτλ., φ. 64α.

δ') Φύλλ. 67-82. Δύο τετράδια τῆς ις' ἑκατ.—1) «Παράκλη-

σις καὶ παρηγορία εἰς θλημένους (γρ. θλιμμένους)· πόνημα κυροῦ Μανουήλου-Σαβίου καὶ πρωτοψάλτου Χάνδακος». Ἀρχ. «Οὐδέν ἐστι τῶν ὑπὸ τὸν ἥλιον κτισμάτων» κτλ.—2) Ἀλφάβητος ἀνεπίγραφος, οὗ ἡ ἀρχή· «Ἄνθρωπε κάμνης καὶ θαρῆς· τὸ κάμνης νὰ κερδήσῃς· κακοπαθῆς καὶ μάχαισε τὸν κόσμον νὰ τὸν ἔχεις» κτλ., φ. 72α.—3) «Μαξίμου μοναχοῦ τοῦ Μάζαρι κανὼν περὶ πνευμάτων καὶ ἀντιστοίχων κατὰ ἀλφάβητον. Ἦχος β'. Ἐν βυθῷ κατέστρωσες». Ἀρχ. «Ἀναφὴς καὶ ἄκτιστος» κτλ., φ. 75β. Annuaire de l'association pour l'encour. des études grecques, τ. X, σ. 131.—4) «Ἡ τῶν Λατίνων λειτουργία μεταγλωττισθεῖσα εἰς ἑλληνικὴν ἐκ τοῦ λατινικοῦ παρὰ τοῦ σοφωτάτου κυροῦ Μάρκου Κρητὸς τοῦ Μουσούρου». Ἀρχ. «Ὁ μέλλων ἱερουργήσειν ἱερεὺς ἐνδύεται» κτλ.

ε') Φύλλ. 83-151. Γράψιμον τῆς ιε' ἑκατ. «Βίος τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος ἐπισκόπου Ῥώμης, μαθητοῦ τοῦ ἁγίου ἀποστόλου Πέτρου». Ἀρχ. «Κλήμης Ἰακώβῳ τῷ κυρίῳ» κτλ. Τέλος· «καὶ ἱστορήσας ἀκολούθως τὰς πράξεις ἀπετέλεσε - - - ».

200. Τεῦχος χάρτινον ἐκ φύλλων 80 (μήκ. 0,205, πλ. 0,145), ὅπερ ἐγράφη ἔτει 1680-ῷ. Αὐτόγραφον Χρυσάνθου τοῦ Νοταρᾶ.—α') «Ἑρμηνεία καὶ καταγραφὴ τοῦ τεταρτημορίου τῆς σφαίρας, ὅπερ καὶ ῥοὺπ-νταγιρὲ λέγεται ἀραβικῶς, γεγονυῖα παρὰ Χρυσάνθου, ἀρχιδιακόνου τοῦ μακαριωτάτου καὶ σοφωτάτου πατριάρχου τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ κυρίου κυρίου Δοσιθέου». Ἀρχ. «Τὸ τεταρτημόριον πρῶτον μὲν ἔχει δύο γραμμὰς ἀπὸ τοῦ κέντρου ἠγμένας» κτλ., φ. 1α.—β') «Καταγραφὴ καὶ ἑρμηνεία τοῦ ὀργάνου, ὀνομαζομένου τζέιπ». Ἀρχ. «Τὸ τζέιπ ὄργανόν ἐστι» κτλ., φ. 25α.—γ') «Προβλήματά τινα ἀστρολαβικά». Ἀρχ. «Εὑρίσκομεν καὶ διὰ τοῦ ἀστρολάβου τὸ δειλινὸν» κτλ., φ. 57.—δ') «Προλεγόμενά τινα εἰς τὴν γεωμετρίαν συντείνοντα». Ἀρχ. «Τί ἐστι γεωμετρία; Γεωμετρία ἐστὶν ἐπιστήμη συμμετρίας» κτλ., φ. 71.—ε') «Θέματος καταγραφή». Ἀρχ. «Ἔστω ἡ σύστασις τοῦ θέματος κατὰ τὸ ͵αχπ' ἔτος» κτλ., φ. 75.—ς') «Ὀνόματα ἀραβικὰ εἰς χρῆσιν ἀστρολάβου». Ἀρχ. «Δοχεῖον, χοντζιερέ. Διόπτρα, οὐζαντὲ» κτλ.

201. Αἱ τρεῖς ἱεραὶ λειτουργίαι, ἡ τοῦ Χρυσοστόμου, ἡ τοῦ Βασιλείου καὶ ἡ τῶν Προηγιασμένων. Τεῦχος χάρτινον τῆς ιϛ' ἑκατ. ἐκ φύλλων 33 (μήκους 0,193, πλ. 0,138), ὅπερ ἐστὶ κεκοσμημένον τισὶ κοσμήμασιν ἐρυθροῖς καὶ πολλοῖς μεγάλοις ἐρυθροῖς κεφαλαιώδεσι γράμμασι. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 20 (0,14×0,09). Μετὰ τὸ 2-ον φύλλον ὑπάρχει τεμάχιον χάρτου, ἐν ᾧ περιέχεται εὐχή, ἧς ἡ ἀρχή· «Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν» κτλ.

202. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατ. ἐκ φύλλων 80, μήκους 0,19, πλ. 0,143. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 30 (0,151×0,105). — α') C. Cremonini explicatio in primum librum de anima, φ. 2. — β') C. Cremonini tractatus de opinionibus. Τὴν ἀρχὴν τούτου τοῦ τεύχους κοσμεῖ πίναξ χαλκογραφικός, ὅστις ἀπεικάζει τὸν Καίσαρα Κρεμονίνην· ἐν δὲ τῇ ᾤᾳ τοῦ αὐτοῦ πίνακος ἀναγινώσκεται τόδε· «Ἐκ τῶν Δοσιθέου Ἱεροσολύμων καὶ τοῦ Ἁγίου Τάφου 1675».

203. Δύο τεύχη τῆς ιη' ἑκατ. συνδεδεμένα, μήκους 0,197, πλάτους 0,153.

α') «Τοῦ σοφωτάτου Κωνσταντίνου Κορδάτου [sic] διδασκαλία περὶ ῥητορικῆς τέχνης». Ἀρχ. «Ἡ ῥητορικὴ ἐκ τῆς φυσικῆς εὐγλωττίας», φ. 1-96. Ἐν τῇ ᾤᾳ τοῦ 1-ου φύλλου· «1729: φευρουαρίου.. ἠρξάμεθα τῆς διδασκαλίας».

β') «Τιβερίου ῥήτορος περὶ τῶν παρὰ Δημοσθένει σχημάτων». Ἀρχ. «Μέλλοντι τὴν τῶν σχημάτων θεωρίαν» κτλ., φ. 97-106. Ἐγράφη ἔτει ͵αψνη'=1758-ῳ.

204. Τεῦχος χάρτινον ἐκ φύλλων 452 (μήκους 0,203, πλ. 0,148). Ἐγράφη ἔτει 1598-ῳ. Ἐν τῇ ᾤᾳ τοῦ 1-ου φύλλου· «Ἱερεμίου ἱερομονάχου τοῦ Τζανκαρέλου· νῦν δὲ Δημητρίου Ἰουλιανοῦ».

1. «Φωτίου πατριάρχου Κωνσταντινουπόλεως ἐγκύκλιος ἐπιστολὴ πρὸς τοὺς τῆς Ἀνατολῆς ἀρχιερατικοὺς θρόνους, Ἀλεξανδρείας φημὶ καὶ τῶν λοιπῶν· ἐν ᾗ περὶ κεφαλαίων τινῶν διάλυσιν πραγματεύεται καὶ ὡς οὐ χρὴ λέγειν ἐκ τοῦ πατρὸς καὶ

τοῦ υἱοῦ τὸ πνεῦμα ἐκπορεύεσθαι, ἀλλ' ἐκ τοῦ πατρὸς μόνον». Ἀρχ. «Οὐκ ἦν ἄρα, ὡς ἔοικε, κόρος τῷ πονηρῷ» κτλ., φ. 1α. Ἐκδ. Βαλέτα σ. 165.

2. (Προσθήκη διὰ τῆς χειρὸς Τζανκαρέλου). Σημείωσις περὶ συνόδων ἀνεπίγραφος. Ἀρχ. «Εἰς ἑξακοσίους ἐνενήκοντα τέσσαρας χρόνους» κτλ., φ. 14. Μετὰ τοῦτο τὸ φύλλον ὑπάρχουσιν ἄκραι δύο φύλλων ἀποκεκομμένων.

3. «Μάρκου, ἀρχιεπισκόπου Ἐφέσου, ὁμιλία ῥηθεῖσα ἐν Φεραρίᾳ πόλει τῆς Ἰταλίας πρὸς τοὺς καρδιναλίους καὶ ἑτέρους τῶν Λατίνων διδασκάλους περὶ τοῦ παρ' αὐτοῖς δοξαζομένου καθαρσίου πυρός». Ἀρχ. «Ἐπειδὴ μετὰ ἀγάπης» κτλ. φ. 15α. Ἀλήθεια, 1880, σ. 5-6, 33-35, 51.

4. «Τοῦ αὐτοῦ πρὸς τοὺς αὐτοὺς ὁμιλία β' περὶ τοῦ αὐτοῦ καθαρσίου πυρός». Ἀρχ. «Πολλῆς μὲν ὡς ἀληθῶς ἐρεύνης» κτλ., φ. 31β. Ἀλήθεια, 1880, σ. 67-68, 106, 120-121, 135-137, 151 κἑ.

5. «Τοῦ αὐτοῦ ἀποκρίσεις πρὸς τὰς ἐπενεχθείσας αὐτῷ ἀπορίας καὶ ἐρωτήσεις ἐπὶ ταῖς ῥηθείσαις ὁμιλίαις παρὰ τῶν καρδιναλίων καὶ τῶν ἄλλων λατινικῶν διδασκάλων». Ἀρχ. «Ἐπειδὴ σαφέστερον» κτλ., φ. 69. Ἀλήθεια, 1880, σ. 270. Ἐκκλ. Ἀλήθ. τ. I, σ. 158-162.

6. «Ζωναρᾶ καὶ δρουγγαρίου τῆς βίγλης καὶ πρωτασυγκρίτου [sic] τῷ τιμιωτάτῳ μοναχῷ Ἡσαΐᾳ κυρῷ Δομεστίκῳ περὶ τοῦ ὁποῖον ἀπαντᾷ τέλος ταῖς ψυχαῖς χωριζομέναις τοῦ σώματος καὶ ὅπουπερ αὗται ἀπέρχονται». Ἀρχ. «Καὶ περὶ μὲν τῶν δικαίων τί χρὴ καὶ λέγειν» κτλ., φ. 82.

7. «Τοῦ αὐτοῦ, εἰ χρὴ προσέχειν τοῖς λέγουσιν, ὅτι αἱ ἐπελθοῦσαι ψυχαὶ κατά τινα τόπον ἀναπαυόμεναι οὔτε δέονται ὑπὲρ ἡμῶν, αὐτοπροσώπως τῷ Χριστῷ παριστάμεναι, οὔτε τοῖς ἐνταῦθα ὅλως ἐφίστανται· καὶ περὶ ψυχῆς». Ἀρχ. «Οἱ ἀπελθόντες ἅγιοι» κτλ., φ. 86. Migne τ. 158, σ. 913.

8. «Τοῦ αὐτοῦ τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Νεκταρίῳ, εἰ χρὴ προσέχειν τοῖς λέγουσιν, ὅτι ἀποφάσει μόνον καὶ οὐκ ἀληθείᾳ εἰσῆλθεν εἰς τὸν Παράδεισον ὁ λῃστής». Ἀρχ. «Τοῦ Παύλου τινὲς ἀκούσαντες» κτλ., φ. 92β.

9. «Ἐπιστολὴ ἀντίγραφος Πέτρου, πατριάρχου Θεουπόλεως μεγάλης Ἀντιοχείας, πρὸς τὸν ἀρχιεπίσκοπον Ἀκυλίας, ἤτοι Βενετίας, περί τε τοῦ μὴ ἑαυτὸν οἴεσθαι πατριάρχην καὶ περὶ ἀζύμων». Ἀρχ. «Πολλῆς ἡμῖν εὐφροσύνης» κτλ., φ. 96. C. Will, Acta et scripta, σ. 208 κέ.

10. «Τοῦ τῇ Θεοῦ χάριτι εὐσεβοῦς νομοφύλακος Ἰωάννου διακόνου τοῦ Εὐγενικοῦ ἀντιρρητικὸς τοῦ βλασφήμου καὶ ψευδοῦς ὅρου τοῦ ἐν Φλωρεντίᾳ συντεθέντος κατὰ τὴν πρὸς Λατίνους σύνοδον». Ἀρχ. «Τὸ μὲν πάντας ἀνθρώπους» κτλ., φ. 108. Κατεχωρίσθη ἐν τῷ Τόμῳ Καταλλαγῆς, ἐν Γιασίῳ 1692-1694.

11. «Συναχθέντες οἱ ἐν Κωνσταντινουπόλει εὑρισκόμενοι ἀρχιερεῖς, καθηγούμενοι καὶ πνευματικοί, ταύτην ἐξέθηκαν πρὸς τὸν βασιλέα τὴν ἀπόκρισιν». Ἀρχ. «Ἐπεὶ ὡρίσθημεν παρὰ τῆς κραταιᾶς» κτλ., φ. 208. Τὸ κείμενον τοῦτο ἐν τῷ πίνακι τοῦ κώδικος ἐπιγέγραπται οὕτως· «Ἀπολογία τῶν ἐν Κωνσταντινουπόλει εὑρεθέντων ἀρχιερέων, καθηγουμένων καὶ πνευματικῶν, πρὸς τὸν βασιλέα τίνος χάριν οὐ παραδέχονται τὰ ἐν τῇ Φλωρεντίᾳ γεγονότα συνοδικά».

12. «Τοῦ ἁγίου Μαξίμου περὶ τῶν δύο φύσεων τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ὅτι Ἄρειος μὲν καὶ Νεστόριος τόν τε τῆς θεολογίας καὶ τῆς οἰκονομίας λόγον διαιροῦσι, Σαβέλλιος δὲ καὶ Εὐτυχὴς ἀπεναντίας τούτων συγχέουσιν». Ἀρχ. «Ἄρειος τὰς τρεῖς ὑποστάσεις» κτλ., φ. 224.

13. «Ἁμαρτωλοῦ διακόνου καὶ ἱερομνήμονος τῆς ὀρθοδόξου τῶν Γραικῶν ἐκκλησίας Θεοδώρου τοῦ Ἀγαλλιανοῦ συλλογὴ ἐκ τῶν ἁγίων, ὅτι πρὸς ταῦτα τὰ δογματικὰ κεφάλαια, σύμφωνα ὄντα καὶ τοῖς λοιποῖς ἁγίοις, ἀντιπαρεξεταζομένη ἡ τῶν Λατίνων δόξα οὐχ εὑρίσκεται σύμφωνος αὐτοῖς, ἀλλὰ μᾶλλον παντοίᾳ αἱρέσει σύμφωνος καὶ ἔξω τῶν ὀρθῶν δογμάτων τῆς εὐσεβείας». Ἀρχ. «Καὶ ὁ Λατῖνος τὰς τρεῖς ὑποστάσεις ὁμολογῶν» κτλ., φ. 224β. Κατεχωρίσθη ἐν τῷ Τόμῳ Καταλλαγῆς.

14. «Μέρος ἔκ τινος λόγου κατὰ Λατίνων περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος· οὗ ἡ ἀρχὴ λείπει». Ἀρχ. «Τί δὲ

κεκίνηκεν Ἰταλοὺς πρὸς τὴν κατὰ τοῦ ἁγίου πνεύματος βλασφημίαν» κτλ., φ. 234.

15. «Ἐκ τοῦ β^ου βιβλίου τοῦ Βλαστάρεως μέρος κατὰ Λατίνων». Ἀρχ. «Ἀλλά γε τοῖς εἰρημένοις αὐτῶν νεανιεύμασι» κτλ., φ. 237β.

16. «Περὶ τῶν ἑπτὰ ἁγίων καὶ οἰκουμενικῶν συνόδων καὶ τῶν ἐν αὐταῖς διαλαμψάντων ἁγίων πατέρων· ἔτι καὶ περὶ τῆς συναθροισθείσης συνόδου ἐπὶ Κωνσταντίνου βασιλέως τοῦ Μονομάχου καὶ Μιχαὴλ πατριάρχου Κωνσταντινουπόλεως τοῦ Κηρουλαρίου, ἥτις καὶ ἐξέτεμε τῆς Καθολικῆς Ἐκκλησίας ψήφῳ κοινῇ τοὺς Λατίνους». Ἀρχ. «Ἀλλ' ἴδωμεν, εἰ δοκεῖ καὶ τοὺς τῶν ἑπτὰ» κτλ., φ. 242β.

17. Ἀποκρίσεις κανονικαὶ πρὸς ἐρωτήσεις τινὰς Μάρκου Ἀλεξανδρείας, φ. 254.

18. «Τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ ὁσιωτάτου ἐν ἱερομονάχοις κὺρ Μακαρίου τοῦ κατὰ κόσμον Μακρῆ πρὸς Λατίνους, ὅτι τὸ λέγειν καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι οὔτε ἀναγκαῖόν ἐστι, ἀλλὰ καινοτομία τῆς ὀρθοδόξου πίστεως· διῄρηται δὲ ὁ λόγος ἐν ι' κεφαλαίοις». Ἀρχ. «Τὰ θεῖα τῶν χριστιανῶν δόγματα» κτλ., φ. 260β [Τόμος Καταλλαγῆς, σελ. 412-420]. Περὶ Μακαρίου τοῦ Μακρῆ καὶ τῶν πονημάτων αὐτοῦ ὅρα ἡμετέραν πραγματείαν ἐν τῷ Δελτίῳ τῆς ἱστορικῆς καὶ ἐθνολογικῆς ἑταιρίας τῆς Ἑλλάδος, τ. III, σ. 458-467. Τοῖς ἐν τῷ Δελτίῳ καταγεγραμμένοις τοῦ Μακρῆ πονήμασι προσθετέον ταῦτα· α') «Μηνὶ ὀκτωβρίῳ μετὰ τὴν ια' λόγος ε'. Λόγος εἰς τοὺς ἐν ἁγίοις θεοφόρους πατέρας ἡμῶν καὶ οἰκουμενικοὺς διδασκάλους, τοὺς ἐν ταῖς ἑπτὰ θείαις καὶ οἰκουμενικαῖς συνεληλυθότας συνόδοις, συγγραφεὶς παρὰ τοῦ σοφωτάτου ἐν ἱερομονάχοις κυροῦ Μακαρίου τοῦ Μακρῆ». Κῶδιξ Βατοπεδίου 546-ος, ἔτους 1422-ου, φύλλ. 109-130. β') Βίος τοῦ ἁγίου Ἀνδρέου Κρήτης, γνωστὸς ἐκ παραφράσεως τοῦ Νικοδήμου. Νέον Ἐκλόγιον. Ἐν Κωνσταντινουπόλει 1863, σ. 151-155.

19. «Βαρλαὰμ μοναχοῦ, ὅτι οὐχ ἁπλῶς ὑπόθεσις τὸ νομίζειν ἐκ μόνου πατρὸς ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ'

ἀνάγκη πᾶσα τοῖς εὐσεβεῖν αἱρουμένοις ἐκ μόνου τοῦ πρώτου αἰτίου τὰ ἐκεῖθεν ἀχρόνως ἐκλάμψαντα· καὶ κεφαλαιώδης ἔκθεσις τοῦ ἡμετέρου δόγματος». Ἀρχ. «Ὅτι μὲν οὖν ὑποκειμένου» κτλ., φ. 273β.

20. «Τοῦ αὐτοῦ, ὅτι ὑποκειμένου ἐκ μόνου πατρὸς ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἀναιροῦνται τὰ περὶ θεολογίας ῥητά». Ἀρχ. «Ἴσως, ὦ ἄνδρες Λατῖνοι, ὑπολαμβάνοντες» κτλ., φ. 276. Ἐν τῇ ᾤᾳ· «Ἐν ἑτέρῳ βιβλίῳ εὗρον τοῦτον τὸν λόγον βον».

21. «Τοῦ αὐτοῦ, ὅτι ὑποκειμένου καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον πολλὰ τῶν ὁμολογουμένων ἀναιρεῖται καὶ πολλοῖς ῥητοῖς τῶν ἁγίων ἀναιτίως ἔχει ἡ τοιαύτη ὑπόθεσις». Ἀρχ. «Ὅταν εἰς λόγους ἀλλήλοις» κτλ., φ. 290β.

22. «Τοῦ αὐτοῦ πρὸς τὸν ἀρχιεπίσκοπον Νικόλαον περὶ τῆς τοῦ πάπα ἀρχῆς». Ἀρχ. «Φής, ὅτι τῶν ἀδυνάτων ἐστὶ» κτλ., φ. 303.

23. «Ἔγγραμμα (γρ. σύγγραμμα) Ἀνδρονίκου καὶ μεγάλου δρουγγαρίου τῆς βίγλης, τοῦ πατρόθεν μὲν [Καματηροῦ], μητρόθεν δὲ Δοῦκα, συλλεγὲν καὶ συντεθὲν ὑποθήκῃ καὶ κελεύσει τοῦ ἀοιδίμου βασιλέως πορφυρογεννήτου κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, κατὰ τῶν δογματιζόντων ἔχειν τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον πνεῦμα πανάγιον τὴν ὑπαρκτικὴν ἐκπόρευσιν καὶ ἐκ τοῦ υἱοῦ, ὥστε δύο εἰσάγειν ἀρχὰς καὶ αἴτια δύο ἐπὶ τῆς θεαρχικῆς καὶ θείας τριάδος», φ. 310. Ἀ. Δημητρακοπούλου Ὀρθόδοξος Ἑλλάς, σ. 25 κέ.

24. «Τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως κυροῦ Γερμανοῦ, τοῦ κατὰ τὴν Νίκαιαν, ἐκ τοῦ ἀντιρρητικοῦ αὐτοῦ λόγου πρὸς τοὺς Λατίνους, τοὺς τὸ προγραφὲν τοῦ Νύσσης ῥητὸν προβάλλοντας». Ἀρχ. «Ἀποκρίθητι οὖν μοι ὁ ἐξ ἐναντίας» κτλ., φ. 338.

25. «Φωτίου πατριάρχου συλλογισμοί», φ. 358β.

26. Φωτίου πατριάρχου τεμάχιον μετὰ ἐκτενοῦς ἑρμηνείας, φ. 359.

27. «Τῷ ἁγίῳ μου δεσπότῃ, τῷ σεβαστοκράτορι κυρῷ Μανουὴλ τῷ Κομνηνῷ, εἰ χρὴ προσέχειν τοῖς λέγουσιν τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι, καὶ ὅτι οὐ ταὐτὸν ἀπο-

στολὴ καὶ ἐκπόρευσις. Ἰωάννης Ζωναρᾶς δρουγγάριος τῆς βίγλης χαίρειν». Ἀρχ. «Εἰ δέ σοι καὶ περὶ τῆς ἀρρήτου» κτλ., φ. 374.

28. «Τοῦ ἁγιωτάτου μητροπολίτου Ἐφέσου κυροῦ Μάρκου τοῦ Εὐγενικοῦ ὁμολογία τῆς ὀρθῆς πίστεως, ἐκτεθεῖσα ἐν Φλωρεντίᾳ κατὰ τὴν πρὸς Λατίνους γενομένην σύνοδον». Ἀρχ. «Ἐγὼ τῇ τοῦ Θεοῦ χάριτι» κτλ., φ. 386β. Κατεχωρίσθη ὑπὸ Δοσιθέου πατριάρχου Ἱεροσολύμων ἐν τῷ Τόμῳ τῆς Ἀγάπης, μετὰ δὲ τῆς δῆθεν ἀναιρέσεως Γρηγορίου τοῦ Μαμμῆ ἐν τῷ 160-ῷ τόμῳ τῆς συλλογῆς τοῦ Migne, σ. 16, 24, 29, 31, 41, 57, 64, 69, 73, 76, 77, 80, 84, 85, 98, 100, 101, 105.

29. «Τοῦ αὐτοῦ ἁγιωτάτου μητροπολίτου Μάρκου Ἐφέσου ἐπιστολὴ πεμφθεῖσα ἐν τοῖς ἁπανταχοῦ τῆς οἰκουμένης οἰκοῦσιν ὀρθοδόξοις χριστιανοῖς περὶ τῶν λατινικῶν ἀθέσμων ἐθῶν καὶ δογμάτων». Ἀρχ. «Οἱ τὴν κακὴν ἡμᾶς αἰχμαλωσίαν» κτλ., φ. 391β-399β, ἔνθα γέγραπται τὸ σημείωμα τοῦτο· «Νύσ(ου) Κρή-τ(ης) ἐν πόλ(ει) Κυδωνίας μέρη | τέλος εἴληφε τὸ παρὸν βιβλίον | ἐν τῇ μονῇ τῆς Κυρίας τῶν Ἀγγέλων | τοῦ Γδερνέτου· ἐν μηνὶ μαΐῳ ια', ἔτει ἐκ τῆς πρὸς ἡμᾶς τοῦ Θεοῦ Λόγου ἀρρήτου συγκαταβάσεως ͵αω φω ϟω ηω, ἐκ δὲ τῆς κοσμοποιίας ͵ζω λςω» [=1598].

30. «Περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος». Ἀρχ. «Πῶς ἂν λυθείη τὸ τοῦ τῆς Ἐφέσου πρὸς Λατίνους» κτλ., φ. 339β.

31. «Ἐπιστολὴ Νικολάου πέμπτου Ῥώμης ἀρχιερέως μεγίστου πρὸς Κωνσταντῖνον βασιλέα Ῥωμαίων, ἐκ τῆς Λατίνων μεθερμηνευθεῖσα φωνῆς ὑπὸ Θεοδώρου τοῦ Γαζῆ». Ἀρχ. «Ἀνδρόνικον Βριένιον Λεοντάριον», φ. 400. Migne τ. 160, σ. 1201.

32. «Ἑτέρα ἐπιστολὴ καθολικὴ πρὸς Γραικοὺς τοῦ σοφωτάτου κὺρ Βησσαρίωνος, πατριάρχου Κωνσταντινουπόλεως, καρδηναλίου Ῥωμαίων, τοῦ κοινῶς λεγομένου Νικαίας» 1463, φ. 406.

33. «Ὅρος ὀρθοδοξίας συνοδικὸς εἰς τὴν ἐκπόρευσιν τοῦ ἁγίου πνεύματος. Γερμανοῦ πατριάρχου». Ἀρχ. «Ὁ μονογενὴς υἱὸς» κτλ., φ. 418. Ἀ. Π.-Κεραμέως Ἀνέκδοτος ὅρος θεσπισθεὶς ὑπὸ τῆς ἐν Νυμφαίῳ συνόδου. Ἐν Κωνσταντινουπόλει 1881.

Ἡ ἡμετέρα ἔκδοσις ἐγένετο κατὰ τὸ ἐν τῷ 3-ῳ κώδικι τοῦ Ἑλλην. Φιλολογ. Συλλόγου ἀντίγραφον· τούτου δὲ τοῦ κώδικος τὴν περιγραφὴν ὅρα ἐν τῷ ἡμετέρῳ Καταλόγῳ τῶν ἐν τῷ Ἑ. Φ. Σ. χειρογράφων βιβλίων. Ἑλλ. Φιλ. Συλλ. παράρτημα τ. Κ'-ΚΒ', σ. 77-78.

34. «Μιχαὴλ συγκέλλου Ἱεροσολύμων σύμβολον καὶ ὁμολογία τῆς ἁγίας καὶ ὀρθῆς καὶ ἀμωμήτου πίστεως εἰς τὴν ἁγίαν τριάδα», φ. 420β.

35. «Μαρτυρίαι καὶ ἐξηγήσεις διαφόρων διδασκάλων περὶ τοῦ ἁγιασμοῦ τῶν δώρων καὶ τῆς πρὸ τούτων εὐχαριστίας. Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ Νικολάου τοῦ Καβάσιλα ἐξήγησις εἰς τὸν ἁγιασμὸν τῶν δώρων καὶ τῆς πρὸ τούτων εὐχαριστίας» (κεφ. κζ', κη' καὶ κθ'). Ἀρχ. «Οὕτω δὲ κάλλιστα καὶ ἱερώτατα» κτλ., φ. 425.

36. Τεμάχη «τοῦ μακαρίου Αὐγουστίνου ἐπισκόπου Ἱππῶνος», φ. 431.

37. Μαρτυρίαι «περὶ ἀμφοτέρου τοῦ εἴδους τῆς κοινωνίας», φ. 434β.

38. «Τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἐφέσου κὺρ Μάρκου τοῦ Εὐγενικοῦ, ὅτι οὐ μόνον ἀπὸ τῆς φωνῆς τῶν δεσποτικῶν ῥημάτων ἁγιάζονται τὰ θεῖα δῶρα, ἀλλ' ἐκ τῆς μετὰ ταῦτα εὐχῆς καὶ εὐλογίας τοῦ ἱερέως». Ἀρχ. «Ἡμεῖς ἐκ τῶν ἱερῶν ἀποστόλων» κτλ., φ. 435. Migne τ. 160, σ. 1080-1089.

39. Τεμάχη συνοδικῶν πρακτικῶν, κανόνες τινὲς ἀποστολικοὶ καὶ συνοδικοὶ καὶ τεμάχη τινὰ τῆς Πεντατεύχου, φ. 443 κέ.

40. «Φωτίου πατριάρχου Κωνσταντινουπόλεως τίνος χάριν τίθεται τὸ ἅγιον Εὐαγγέλιον τῇ κεφαλῇ τοῦ χειροτονουμένου ἀρχιερέως»; Ἀρχ. «Διατί ἐπὶ τῆς κεφαλῆς ἔφερεν ὁ ἱερεὺς τιάριον» κτλ., φ. 445.

41. «Αἱ τάξεις τῆς Ἐκκλησίας». Ἀρχ. «Α' οἱ πατριάρχαι μετὰ τῶν προνομίων αὐτῶν, β' οἱ μητροπολῖται» κτλ., φ. 445β.

42. «Ἐκ τοῦ βίου τοῦ μεγάλου Κωνσταντίνου». Ἀρχ. «Ὁ οὖν τὴν Κωνσταντινούπολιν Ῥώμην Νέαν χρηματίζειν ἐθέσπισε» κτλ., φ. 446.

43. «Πίναξ ἀκριβὴς τοῦ παρόντος βιβλίου», φ. 447.

44. Δοσιθέου πατριάρχου Ἱεροσολύμων σημείωμα περὶ τοῦ ἱερομνήμονος Ἀγαλλιανοῦ, φ. 448.

45. «Τὰ τῆς πίστεως ἄρθρα, ἃ πᾶς τις ὀρθῶς φρονῶν καὶ σωθῆναι θέλων ὀφείλει ὁμολογεῖν». Ἀρχ. «Πρῶτον μὲν τῶν κεφαλαίων, ὅτι ἓν τὸ θεῖον τῇ φύσει» κτλ., φ. 451.

205. Τεῦχος χάρτινον ἐκ φύλλων 69 (μήκ. 0,193, πλ. 0,143). Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 30. Τὴν ἀρχὴν τούτου τοῦ τεύχους κοσμεῖ πίναξ χαλκογραφικός, ὅστις ἀπεικάζει τὸν Καίσαρα Κρεμονίνην· αὐτόθι δ' ἐστὶ καὶ τὸ σημείωμα τοῦτο· «Καὶ τόδε διὰ Δοσιθέου Ἱεροσολύμων τοῦ Ἁγίου Τάφου 1675».— 1) Caesaris Cremonini Centensis explicatio tertii capitis secundi libri de generatione animalium, φ. 1-32. Ἐγράφη «die 10 junii 1631». —2) Caesaris Cremonini Centensis explicatio super primum caput primi libri de partibus animalium, φ. 34 κἑ.

206. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατ. ἐκ φύλλων 139, μήκ. 0,195, πλ. 0,142. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 27 (0,162 × 0,095).—«Epilogo di quelche della natura delle cose ha filosofato et disputato Fra Thomaso Campanella servo di Dio».

207. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατ. ἐκ φύλλων 58. Ἐν τῇ ἀρχῇ τούτου τοῦ τεύχους ὑπάρχει ἓν Sonetto· εἶτα μετάφρασις ἰταλικὴ τοῦ πέμπτου βιβλίου τῶν ἐλεγειῶν τοῦ Ὀβιδίου.

208. Τεῦχος χάρτινον τῆς ιη' ἑκατ., μήκους 0,193, πλ. 0,14. Τὸ πρῶτον αὐτοῦ φύλλον πρόσθετον ὂν περιέχει ἐν ἑαυτῷ δοκίμιά τινα λατινικῆς τε καὶ ἰταλικῆς θεματογραφίας μετὰ τοῦ σημειώματος τούτου· «Ἀρχὴν ἁπάντων καὶ τέλος ποιοῦ Θεόν· τῷ ,αψμζ-ῳ [=1747] ἀνθεστηριῶνος α' ἱσταμένου ἠρξάμην τῆς λατινίδος θεματογραφίας». Εἶτα φύλλα ἠριθμημένα α'—ρλς', ἐν οἷς περιέχεται ἀνώνυμος «Τέχνη τῆς ῥητορικῆς»· ταύτης δὲ τὸ προοίμιον ἄρχεται οὕτως· «Εἶναι συνήθεια εἰς ὅλους, ὁποῦ γράφουν βιβλία, νὰ φανερώσουν πρῶτα» κτλ. Καὶ πάλιν ἕτερα 45 φύλλα, ἐν οἷς περιέχεται ἀνώνυμός τις «Θεολογικὴ ἐπιτομή», διῃρημένη εἰς κεφάλαια

ιϛ'. Ἀρχ. «Τῆς θεολογίας τὸ ὄνομα κατὰ τοὺς θείους ἡμῶν πατέρας» κτλ.

209. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατ. ἐκ φύλλων 75, μήκ. 0,195, πλ. 0,143. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 30 (0,15×0,108).—Caesaris Cremonini expositio in lib. de sensu et sensilibus.

210. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατ. ἐκ φύλλων 84, μήκ. 0,193, πλ. 0,138. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 30.—Caesaris Cremonini explicatio I lib. meteororum.

211. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατ. ἐκ φύλλων 83, μήκ. 0,195, πλ. 0,144. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 30.—Cesaris Cremonini explicatio II et III lib. meteororum.

212. Τεῦχος χάρτινον ἐκ φύλλων 126, μήκ. 0,193, πλ. 0,144. — C. Cremonini explicatio in I II et III lib. physicorum. Τὸ 2-ον βιβλίον ἐγράφη «die 23 junii MDCXXXI» [= 1631].

213. Ποικίλα διαφόρων ἐποχῶν τετράδια συνερραμμένα ὑπὸ Σωφρονίου τοῦ Λεσβίου

1) Φύλλ. 1-13. Τεμάχιον συναξαρίου λειτουργικοῦ τινος Εὐαγγελίου τῆς ιϛ' ἑκατονταετηρίδος.

2) Τετράδιον νεώτατον, ἐν ᾧ καὶ περὶ Εὐμένους τοῦ Καρδιανοῦ.

3) Ἑπτὰ φύλλα, ἐν οἷς περιέχονται ταῦτα· α') «Ἐπιτύμβια εἰς τὸν ἀείμνηστον Ἀγαθάγγελον Τυπάλδον εἰς ἡρωελεγεῖον μέτρον».—β') «Ἕτερον εἰς τὸν αὐτὸν εἰς μέτρον ἰαμβικόν». — γ') «Ἐπιγράμματα εἰς ἡρωελεγεῖον μέτρον· εἰς τὸν ἀξιότιμον σχολάρχην τῆς Θεολογικῆς Σχολῆς Φώτιον Ἀλεξανδρίδην, ἀρχιδιάκονον τοῦ Ἱεροσολυμικοῦ Θρόνου». — δ') «Ἕτερον εἰς μέτρον ἰαμβικόν, εἰς τὸν ἰατρὸν Χαραλάμπην Ματζαράκην».—ε') «Ἐπιτύμβιον εἰς τὸν ἐπίσκοπον Γάζης Φιλήμονα, τὸν ποτὲ γέροντα τοῦ κ. Ματθαίου, εἰς μέτρον ἡρωελεγεῖον».—ϛ') «Ἕτερον ἐπιτύμβιον εἰς Κρῆτά τινα, ὅστις ἔπεσεν ἐν Κρήτῃ ὑπὲρ τῆς ἐλευθερίας μαχόμενος· εἰς μέτρον ἰαμβικόν».—ζ') «Ἕτερον εἰς Κρῆτα

κατὰ τὸν ὑπὲρ ἐλευθερίας ἀγῶνα πεσόντα· εἰς μέτρον ἡρωελεγεῖον».—η') «Ἐπίγραμμα εἰς τὸν σεβάσμιον γέροντα Σεραφεὶμ τὸν σκευοφύλακα· εἰς μέτρον ἡρωελεγεῖον».—θ') «Ἐπίγραμμα ἐπιτύμβιον εἰς Λέσβιόν τινα ἐν τῷ σεισμῷ ὑπὸ τὰ ἐρείπια τῆς οἰκίας αὐτοῦ ἀποθανόντα· εἰς μέτρον ἰαμβικόν».—ι') «Εἰς τὸν ἀοίδιμον διδάσκαλον Κ. Οἰκονόμον» ἐννέα ἐπιγράμματα καὶ εἰς τὸν αὐτὸν «ἕτερον Λεάνδρου Ἀρβανιτάκη». — ια') «Ἕτερα ἐπιτύμβια εἰς Δημήτριον τὸν Χοϊδᾶν».—ιβ') «Ἐπιτύμβιον εἰς τὸν ἐν μακαρίᾳ τῇ λήξει ἄρχοντα μέγαν λογοθέτην Νικόλαον Ἀριστάρχην».—ιγ') «Εὐχὴ ὑπὲρ τοῦ μακαρ. πατριάρχου τῶν Ἱεροσολύμων Κυρίλλου τοῦ Β^{ου} ὑπὸ Λεάνδρου Ἀρβανιτάκη». — ιδ') «Ἕτερον ὑπὸ Γρηγορίου Παλαμᾶ».—ιε') «Ἕτερον ὑπὸ Κωνσταντίνου πρωτοπαπᾶ Κυπρίου».—ιϛ') «Σωφρονίου πατριάρχου Ἱεροσολύμων εἰς τὸν Κρανίου Λίθον ἐν Ἱερουσαλήμ». — ιζ') «Εἰς τὸν ἱερολογιώτατον κ. Βενιαμὶν Ἰωαννίδην, καθηγητὴν τῆς θεολογίας· μέτρον ἡρωελεγεῖον ὑπὸ κ. Λεάνδρου». — ιθ') Ἕτερον πρός τινα Θεοφάνην. Ἅπαντα ταῦτα ἀντέγραψε Σωφρόνιος ὁ Λέσβιος ἔτει «͵αωξθ', [= 1869] κατὰ μῆνα δεκέμβριον».

4) Σελίδες ξζ'. Γράψιμον τῆς ιθ' ἑκατ. «Ἐξήγησις τοῦ μαθήματος Περὶ τοῦ ἀκούειν» τοῦ Πλουτάρχου.

5) Φύλλα 20. Γράψιμον τῆς ιθ' ἑκατ. Προβλήματα μαθηματικά.

6) Φύλλα 24. Γράψιμον τῆς ιθ' ἑκατ. Ἐξήγησις τοῦ περὶ ἱερωσύνης α' λόγου Ἰωάνου τοῦ Χρυσοστόμου.

7) Φύλλα 16. Δύο νεώτατα τετράδια μαθημάτων.

8) Φύλλα 11. «Λόγος Κικέρωνος ὑπὲρ Ἀρχίου· (μετάφρασις) Σωφρονίου ἱεροδιακόνου Λεσβίου».

9) Φύλλα 3. Τεμάχιον τετραδίου τῆς ιθ' ἑκατ. «Αἱ συνομιλίαι ὁποῦ ἔγιναν εἰς τὸν Παράδεισον μετὰ Ἡλιοὺ καὶ λῃστοῦ». Ἀρχ. «Ἄνθρωπε, ποῖος εἶσαι ἐσὺ καὶ ποῖος ἔστειλέ σε» κτλ.

10) Φύλλα 20. Τετράδια τῆς ιη' καὶ τῆς ιθ' ἑκατ. Ἐκκλησιαστικῆς μουσικῆς μαθήματα

214. Μανουὴλ Μαλαξοῦ νομοκάνων ἐκ κεφαλαίων τζ', γρα-

φείς, ὡς φαίνεται, ἔτει ͵ζρκ' [=1611-1612]. Τεῦχος χάρτινον ἐκ φύλλων 199 (μήκ. 0,20, πλ. 0,155), ὧν τὸ κείμενον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ μονόστηλον ἐκ γραμμῶν 18 (0,152×0,085). Ἐν τῇ προσθίᾳ σελίδι τοῦ 1-ου φύλλου ὑπάρχει τύπος σφραγῖδος τῆς ιζ' ἑκατ., ἐν ᾧ ἀναγινώσκεται τὸ «ΚΑΛΛΙΝΙΚΟΣ ΙΕΡΟΜΟΝΑΧΟΣ ΑΝΑϹ(ασ)ΙΤ(ης)»· καὶ πάλιν ἕτερος τύπος, ἐν ᾧ τὸ «ΜΕΛΕΤΙΟΣ ΙΕΡΟΔΙΑΚΟΝΟΣ ΑΓΙΟΤΑΦΙΤΗΣ».

16. Λουκιανοῦ διάλογοι νεκρικοὶ καὶ τούτων ἑρμηνεία κατὰ λέξιν, φ. 605-630.

291. Τεῦχος χάρτινον ἐκ φύλλων 310, μήκους 0,215, πλ. 0,164. Ἐγράφη περὶ τὴν ἀρχὴν τῆς ιη' ἑκατ. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 23 (0,16×0,12). Ἐν τῇ ὤᾳ τοῦ 1-ου φύλλου· «Καὶ τόδε πρὸς τοῖς ἄλλοις κτῆμα τοῦ εὐτελοῦς Σωφρονίου Πτολεμαΐδος».

1. Ἰωσὴφ τοῦ Βρυεννίου λόγοι, φ. 1-237. Λόγος πρῶτος, οὗ ἡ ἐπιγραφή· «Ἰωσὴφ (μον)α(χοῦ), ᾧ ὄνομα Βρυέννιος τὸ ἐπώνυμον, διάλεξις πρώτη περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως μετὰ τοῦ λατινόφρονος Μαξίμου, τῆς τάξεως τῶν κηρύκων· γέγονε δὲ περὶ τὴν περίφημον Κρήτην ἐπ' ἀκροάσει πάσης τῆς ἐκεῖ μητροπόλεως». Ἀρχ. «Χαίροις, Ἰωσήφ. Εἴθε. Μάξιμος. Πῶς ἔχεις» κτλ.—Φύλ. 227 «Τοῦ αὐτοῦ λόγος κα'· περὶ τῆς θείας τριάδος» κτλ. Ἀρχ. «Πρὸ τριῶν ὡρῶν ἤκουσταί μοι» κτλ. Ἄγραφα φύλλα· 238, 239.

2. «Συναγωγὴ τῶν ἀναγωγικῶς ἑρμηνευομένων ῥητῶν τῆς παλαιᾶς ἁγίας Γραφῆς, ἐρανισθεῖσα κατὰ σύνοψιν καὶ σαφεστέραν ἀπαγγελίαν ἔκ τε τῶν τοῦ θεσπεσίου Κυρίλλου καὶ τῶν τοῦ μεγάλου Μαξίμου καὶ λοιπῶν ἐξηγητῶν ἁγίων πατέρων», φ. 240-300. Φύλλα ἄγραφα· 301-304.

3. «Ἐκ τῶν Βριγενίου βιβλίων περὶ τῶν κατὰ Λατίνους αἱρέσεων κεφάλαια λε'», φ. 305-310.

292. Χάρτινα τετράδια τῆς ιζ' ἑκατονταετηρίδος, ἀποτελοῦντα φύλλα ἠριθμημένα 241· οἷς προσετέθησαν ἕτερα δύο, περιλαβόντα ἐν ἑαυτοῖς πίνακα λεπτομερῆ τῶν ἐν αὐτοῖς τούτοις τοῖς τετραδίοις ὑποθέσεων. — Ἀνωνύμου διδαχαί, ὧν ἡ πρώτη ἐρρήθη Κυριακῇ τοῦ Πάσχα. Ἀρχ. «Δεσποτικὴν καὶ βασιλικὴν πανήγυριν ἑορτάζομεν σήμερον» κτλ. — Φύλ. 27 Λόγος εἰς τὸν ἅγιον Νικόλαον, ῥηθεὶς ἔτει 1612-ῳ. Ἀρχ. «Ἀδελφοί, ἐκεῖνοι οἱ τεχνῖται καὶ οἱ πραγματευτάδες» κτλ. — Φύλ. 87 Ἐπιστολὴ νουθετικὴ πρός τινα Μᾶρκον μοναχόν. — Φύλ. 88 Διδαχὴ περὶ

τῶν δέκα λεπρῶν, ἧς ἀρχή· «Καλὰ πῶς ὁ ἀστέρας ὁ αὐγερινὸς» κτλ. Ἐρρήθη τῇ 19 ἰαν. 1617. — Φύλ. 161 Διδαχὴ λεχθεῖσα ἐν τῇ μονῇ τοῦ ὄρους Σινᾶ. Ἀρχ. «Ἀδελφοί, τὰ γὰρ καλὰ ἔργα» κτλ. — Φύλ. 213 Ἐγκώμιον εἰς τὸν Ἅγιον Τάφον, οὗ ἡ ἀρχή· «Θαυμαστὸν καὶ ὡραιόμορφον παράδεισον» κτλ.—Φύλ. 217 Ἐγκώμιον εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ, οὗ ἡ ἀρχή· «Ὦ πόλις Ἱερουσαλὴμ θαυμαστὴ» κτλ. — Φύλ. 204 Διδαχὴ γενομένη ἐν τῇ λαύρᾳ τοῦ ὁσίου Σάβα.

293. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατονταετηρίδος ἐκ φύλλων 596, μήκους 0,215, πλ. 0,162. Ἐγράφη ὑπὸ διαφόρων χειρῶν. Ἐν τῇ ἀρχῇ κεῖται πίναξ ἀναγραφικὸς τῶν ἐν αὐτῷ τούτῳ τῷ τεύχει περιεχομένων ὑποθέσεων, καὶ τὸ σημείωμα τοῦτο· «Ἀφιερώθη τὸ παρὸν παρ' ἡμῶν τῷ Παναγίῳ Τάφῳ· ἐχέτω δὲ τὸ αἰώνιον ἀνάθεμα κτλ. † Ὁ Ἱεροσολύμων πατριάρχης Χρύσανθος». Ἐν τῇ ᾤᾳ τοῦ 1-ου φύλλου· «Καὶ τόδε σὺν τοῖς ἄλλοις ὑπάρχει τοῦ διδασκάλου Μάρκου». — Γερασίμου τοῦ Παλλαδᾶ, πατριάρχου Ἀλεξανδρείας, διδαχαὶ καὶ λόγοι πανηγυρικοὶ 81. Ἀρχ. «Τοῦ αὐτοῦ Γερασίμου εἰς τὸν πλούσιον καὶ Λάζαρον. Καταισχύνουσι τὰ καυστικὰ ὑψώματα» κτλ.

294. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατονταετηρίδος ἐκ φύλλων 198, μήκους 0,218, πλ. 0,162. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 23-24. Ἐν τῇ ἀρχῇ τοῦ τεύχους· «Ἐκ τῶν τοῦ διδασκάλου Ἀνανίου ἀφιερώθη τῷ Παναγίῳ Τάφῳ κατὰ τὸ ͵αψο' [= 1770] ἔτος» κτλ.

1. Ἀρριανοῦ ἱστοριῶν ἀναβάσεων Ἀλεξάνδρου βιβλία ζ', φ. 1-140.

2. «Ἀρριανοῦ Ἰνδικά· ἢ καὶ οὕτως· Ἀρριανοῦ Ἀλεξάνδρου ἀναβάσεως ἱστοριῶν ὀγδόη», φ. 141-167^{α}.

3. «Φωτίου πατριάρχου Κωνσταντινουπόλεως ἐκ τῶν Ἀρριανοῦ συγγραμμάτων ἐκλογαί», φ. 167^{β}.

4. «Ἀρριανοῦ ἐπιστολὴ πρὸς Ἀδριανόν, ἐν ᾗ καὶ περίπλους Εὐξείνου Πόντου», φ. 176^{α}.

5. «Εἰς τὸν τοῦ Ἀρριανοῦ περίπλουν τοῦ Εὐξείνου Πόντου,

λατινιστὶ μεθερμηνευθέντα καὶ ἐξηγηθέντα ὑπὸ Γουλιέλμου τοῦ Στουκίου», ἐπίγραμμα Φραγκίσκου Πόρτου τοῦ Κρητός. Ἀρχ. «Ἀρριανὸς βασιλεῦσιν ἔγραψέ ποτ'» κτλ., φ. 184β.

6. Φραγκίσκου Πόρτου ἕτερον ἐπίγραμμα εἰς τὸν αὐτὸν Στούκιον. Ἀρχ. «Δῖε Λαερτιάδη» κτλ., φ. 187β.

7. «Ἀρριανοῦ περίπλους τῆς Ἐρυθρᾶς θαλάσσης». Ἀρχ. «Τῶν ἀποδεδειγμένων ὅρμων», φ. 188-198.

295. Τετράδια χάρτινα διαφόρων γραφῶν τῆς ιζ' ἑκατοντ. Φύλλα 639. Διδαχαὶ 66, ὧν αἱ πλείους αὐτόγραφοι Παϊσίου τοῦ Λιγαρείδου. Ἀρχ. «Τριῶν λογιῶν δοῦλοι εὑρίσκονται εἰς τὴν φύσιν τῶν ὄντων» κτλ.—Φύλ. 225 Λόγος ἀνώνυμος εἰς τὸν τελώνην καὶ τὸν Φαρισαῖον, ῥηθεὶς ἔτει 1681-φ.— Φύλ. 468 Ἀδήλου «ἐγκώμιον εἰς τὴν ἁγίαν Παρασκευήν· ͵αχνδ' [= 1654] ἐν Τρίκκῃ». Ἀρχ. «Φαίνεται, τιμιώτατοι, πῶς ἡ μεγαλόπολις Ῥώμη» κτλ.—Φύλ. 526 κὲ Παράφρασις βίου τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ, συγγραφέντος ὑπὸ Γρηγορίου τοῦ Νύσσης.

296. Χάρτινα τετράδια τῆς ιζ' καὶ τῆς ιη' ἑκατ. Φύλλα 240. Συλλογὴ διδαχῶν αὐτογράφων, ὧν τινες Λαυρεντίου τοῦ Καββάκου. Ἐν τῇ ἀρχῇ, μετὰ τὸν πίνακα τῶν διδαχῶν, ὑπάρχει ὁμιλία τις ἀνεπίγραφος, ἧς ἡ ἀρχή· «Ὅταν λογιάσω» κτλ.—Φύλ. 80-83 Ὁμιλία ῥηθεῖσα τῇ Κυριακῇ τῶν Ἁγίων Πατέρων (20 ἰαν. 1658). Ἀρχ. «Καθ' ὃν τρόπον ἡ θερμότης τοῦ ἡλίου σύρνει τὸ ἡλιοτρόπιον» κτλ. — Φύλ. 84 «Ὁμιλία ἑτέρα εἰς τὴν ια' Κυριακὴν τοῦ Λουκᾶ». Ἀρχ. «Εἰς τὰ τῆς ἄλλης ὁμιλίας ἀπόρρητα ζητήματα ἐκαταλάβαμεν» κτλ. Μετὰ τὸ κείμενον· «1660 δεκεμβρίῳ 18 ἐν Κωνσταντινουπόλει. † Λαυρέντιος ἱερομόναχος Καββάκος».—Φύλ. 10 Διδαχὴ ἀνώνυμος, ῥηθεῖσα ἔτει «1708 δεκεμβρίῳ 13 εἰς τὸν Ἅγιον Φώτιον». Ἀρχ. «Δὲν εἶναι τόσον θαῦμα νὰ θαμπώσῃ» κτλ.—Φύλ. 120 Ἀνεπίγραφος ὁμιλία, γραφεῖσα ἔτει «1693 φευρουαρίῳ 5». Ἀρχ. «Δύο καράβια βλέπεις καὶ ἀρμενίζουν» κτλ.—Φύλ. 190 «1632 ὁμιλία εἰς τὸν τελώνην καὶ Φαρισαῖον». Ἀρχ. «Πολλὰ μεγάλον καὶ φαρμακερὸν» κτλ.—

Φύλ. 221 Διδαχὴ ἀνώνυμος τῇ Κυριακῇ τῆς Χαναναίας, ῥηθεῖσα ἔτει «1708 νοεμβρίῳ 7, εἰς τὸν Σωτῆρα».

297. Χάρτινα τετράδια τῆς ιζ′ καὶ ιη′ ἑκατ. Φύλλα 324. Συλλογὴ διδαχῶν αὐτογράφων, ὧν αἱ πλείους Λαυρεντίου τοῦ Καββάκου. — Φύλ. 1α «Λόγος εἰς τὴν α′ Κυριακὴν τῶν Ἁγίων Πάντων. Ἀνθίμου Κυπρίου». Ἀρχ. «Θεωρῶ τὴν πρόθυμον ὄρεξιν» κτλ. — Φύλ. 11-39 Γράψιμον τοῦ Καββάκου. Ἀπὸ φ. 11 ὁμιλία τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας, ἧς ἡ ἀρχή· «Τὰ θνητὰ πρὸς τὰ ἄφθαρτα» κτλ. Μετὰ τὸ κείμενον· «1661 ἐν Κωνσταντινουπόλει. Λαυρέντιος ἱερομόναχος Καββάκος Χῖος». Ἀπὸ φ. 32 ὁμιλία εἰς τὴν α′ Κυριακὴν τῶν Νηστειῶν, ἧς ἡ ἀρχή· «Μεγάλην παραμυθίαν ἔρχομαι σήμερον νὰ σοῦ φέρω» κτλ. Μετὰ τὸ πέρας τοῦ κειμένου· «1661 μαρτίῳ 3 ἐν τῷ Πατριαρχείῳ τῆς Κωνσταντινουπόλεως. † Λαυρέντιος ἱερομόναχος Καββάκος ὁ Χῖος».— Φύλ. 51-89 Γράψιμον ἀδήλου· ὁμιλίαι τῶν ἐτῶν 1700, 1707. 1709.—Φύλ. 90-97 Λαυρεντίου Καββάκου ὁμιλία εἰς τὴν β′ Κυριακὴν τῶν Νηστειῶν, ῥηθεῖσα ἐν τῷ Γαλατᾷ μηνὶ φεβρουαρίῳ τοῦ 1661-ου ἔτους.—Φύλ. 203-219 Δύο ὁμιλίαι τοῦ αὐτοῦ Καββάκου· τούτων μία ἐρρήθη ἔτει «1661 μαρτίῳ 17, ἐν τῷ ναῷ τοῦ Σωτῆρος Χριστοῦ τῶν Μπουστανίων ἐν Γαλατᾷ».

298. Τεῦχος χάρτινον τῆς ιη′ ἑκατονταετηρίδος ἐκ φύλλων 154, μήκους 0,218, πλ. 0,168. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 21 (0,162×0,118). Ἀντίγραφον ἐπίσημον ἐν συνόδῳ κυρωθέν. Ἔνδον τῆς πρώτης πινακίδος ἀναγινώσκεται τὸ «Τῷ μακαριωτάτῳ καὶ ἁγιωτάτῳ πατριάρχῃ Ἱεροσολύμων κυρίῳ Παρθενίῳ ἐπιδοθείη».—Πρᾶξις τοπικῆς συνόδου, γενομένης ἐν Κωνσταντινουπόλει (1756), κατακρινάσης τὸ λατινικὸν βάπτισμα καὶ δογματισάσης ὅτι δεῖ ἀναβαπτίζεσθαι τοὺς ἐκ Λατίνων προσερχομένους εἰς τὴν Ὀρθόδοξον Καθολικὴν Ἐκκλησίαν· διαιρεῖται δὲ ἡ πρᾶξις αὕτη εἰς κεφάλαια οβ′, κατὰ τὸν προτεταγμένον αὐτῶν πίνακα (φ. 1-19), ὧν τὸ α′ ἀποδείκνυσιν, ὅτι «τὸ βάπτισμα, ᾧ κέχρηται ἡ καθ' ἡμᾶς Ἐκκλησία εἰς κάθαρσιν ἁμαρτιῶν ἡμῶν οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ Θεοῦ ἐστι· πᾶς δὲ ὃς ἂν τὸ θεόθεν

δοθὲν μυστήριον τοῦ βαπτίσματος ἀθετήσας ἀνθρωπίνην κατασκευὴν μυστηρίων ἀντὶ θείου βαπτίσματος λάβῃ, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Τὴν πρᾶξιν ταύτην ἐκύρωσεν ἰδίᾳ χειρὶ (ὅρα φ. 1 καὶ 154) «Κύριλλος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης», καὶ «Ματθαῖος ἐλέῳ Θεοῦ πάπας καὶ πατριάρχης Ἀλεξανδρείας».

299. Χάρτινα τετράδια τῆς ιζ' καὶ τῆς ιη' ἑκατονταετηρίδος. Φύλλα 293. — Τύποι διαφόρων ἐπιστολῶν. Ἀρχ. «Οἱ μὲν χυδαῖοι καὶ ἀγελαῖοι σᾶς πλέκουν ἐγκώμια», φ. 1-7. — «1708 μαρτίου ἐν Πάτμῳ, ἐκ τοῦ Γαβριὴλ Σεβήρου ἐκ Μονεμβασίας, μητροπολίτου Φιλαδελφείας», ἐκλογαί, φ. 11 κέ. — Θέσεις περὶ συντάξεως.—Ὁμιλίαι Σεβαστοῦ τοῦ Κυμινήτου. — Γρηγορίου τοῦ Ναζιανζηνοῦ διάφορα πονημάτια ἡρμηνευμένα ὑπὸ Σεβαστοῦ τοῦ Κυμινήτου. — Φύλ. 126 Σεβαστοῦ Κυμινήτου λόγος, ὃς «εἴρηται ‚αχπη' [=1688] ἰανν. α' εἰς τὸν ἅγιον Βασίλειον, ἡμέρᾳ Κυριακῇ». Ἀρχ. «Ὅταν ἀποβλέπω καὶ συλλογίζωμαι» κτλ.—Φύλ. 192 Σεβαστοῦ Κυμινήτου ἡ περὶ μετουσιώσεως ἐπιστολιμαία πρὸς Χρύσανθον διάλεξις, ἧς ἡ ἀρχή· «Ὑπὲρ μὲν οὖν ὧν πρὸς σκοποῦ γράφεις» κτλ.—Φύλ. 220 Σεβαστοῦ «ἐκλογαὶ ἐκ τῶν Θεοφάνους μητροπολίτου Νικαίας περὶ τοῦ Θαβωρίου φωτὸς ἐν πέντε λόγοις εἰρημένων». — Φύλ. 229 «Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοφυλάκτου ἀρχιεπισκόπου Βουλγαρίας παιδεία βασιλικὴ πρὸς τὸν πορφυρογέννητον Κωνσταντῖνον, μεταφρασθεῖσα μὲν εἰς πεζὴν φράσιν διεξοδικώτερον, ἔστιν ὅτε ὁμοῦ καὶ πληρέστερον, ὑπὸ Σεβαστοῦ Τραπεζουντίου τοῦ Κυμινήτου, ἀφιερωθεῖσα δὲ εἰς τὸν ἐκλαμπρότατον κ.» [sic].—Φύλ. 252 Σεβαστοῦ λόγος εἰς τὸ ἅγιον Πάσχα. Ἀρχ. «Ἀνάστασιν Χριστοῦ ἑορτάζομεν σήμερον, ἐκλαμπρότατε, θεοτίμητε καὶ θεοδόξαστε ἡμῶν αὐθέντα» κτλ.

300. Χάρτινα τετράδια τῆς ιζ' καὶ ιη' ἑκατονταετηρίδος. Φύλλα 306. Διδαχαὶ ἀνώνυμοι, ὧν τινες ἐδιδάχθησαν μεταξὺ τῶν ἐτῶν 1705-1708.

301. Χάρτινα τετράδια διαφόρων γραφιμάτων τῆς ιη' ἑκατ.

Φύλλα 389, μήκους 0,215, πλ. 0,16.—'Ανώνυμοι διδαχαὶ (1715-1735), ὧν ἡ πρώτη «εἰς τὴν Κυριακὴν τοῦ τελώνου καὶ Φαρισαίου». 'Αρχ. «Τώρα καταλαμβάνω τὴν ὀξύτητα τοῦ νοὸς» κτλ.

302. Τεῦχος χάρτινον, ἐκ φύλλων 7 καὶ σελίδων ἠριθμημένων 1052, ὅπερ ἐγράφη εἰς κάλλος ἐν Κιέβῳ προνοίᾳ Χρυσάνθου τοῦ Νοταρᾶ περὶ τὸ τέλος τῆς ιζ' ἑκατονταετηρίδος, προτάξαντος ὕστερον, πατριάρχου γενομένου Ἱεροσολύμων, ἐν αὐτῷ τούτῳ τῷ τεύχει καὶ τὸ ἀντίγραφον ἐπιστολῆς αὐτοῦ διγλώσσου «τοῖς ἐκλαμπροτάτοις, αἰδεσιμωτατοις καὶ σοφωτάτοις διδασκάλοις καὶ θεολόγοις τῆς ἐν 'Ωξονίᾳ ἀκαδημίας». Καὶ ταύτης μὲν τῆς ἐπιστολῆς τὸ ἑλληνικὸν κείμενον κατεχωρίσθη ἐν τοῖς ἐμοῖς 'Αναλέκτοις ἱεροσολ. σταχυολογίας (τ. IV, σ. 72-76), αὐτὸ δὲ τοῦτο τὸ τεῦχος περιλαμβάνει ἐν ἑαυτῷ λατινιστὶ τὸ περὶ ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος ὑπόμνημα 'Αδὰμ τοῦ Ζοιρνικαβίου, ὅπερ, ὡς γνωστόν, Εὐγένιος ὁ Βούλγαρις ἐξ ἄλλου τινὸς ἀντιγράφου μεθηρμήνευσε καὶ τύποις ἐξέδωκεν ἐν Πετρουπόλει ἑλληνιστί. Ἔστι δὲ τοῦτο τὸ τεῦχος μήκους 0,21, πλ. 0,165, τὸ δὲ κείμενον αὐτοῦ μονόστηλον ἐν μιᾷ τῶν σελίδων ἑκάστῃ ἐκ γραμμῶν 24-29 (0,16 × 0,12). 'Αρχ. «Tractatus I, in quo demonstratur sanctos patres orientales primis decem seculis unanimi credidisse consensu spiritum sanctum ex solo procedere patre». Τέλος· «Sic ergo Florentinam synodum fraudulentam fraude etiam abhinc juvare voluerant Latini. Et tandum de synodo Florentina».

303. Κῶδιξ χάρτινος ἀνάμικτος, μήκους 0,205, συναπηρτισμένος ἐκ τετραδίων τῆς ιδ', τῆς ιε' καὶ τῆς ις' ἑκατονταετηρίδος· οὗ φύλλα ἠριθμημένα ἀπὸ τοῦ α' μέχρι τοῦ ἀριθμοῦ τηα'· φύλλα δέ τινα, ἅπερ ἔφερον ἐκ παλαιοῦ τοὺς ἀριθμοὺς ρ'-ρλϛ', ἐλλείπουσιν. Πρὸ τῶν ἠριθμημένων φύλλων ὑπάρχουσιν ὀκτὼ ἕτερα φύλλα, ὧν τὸ πρῶτον περιέχει ἐν ἑαυτῷ τὸ στιχηρὸν «Τῶν ἀγγέλων ὁ δῆμος», εἶτα στίχους τινὰς ἀνεπιγράφους, ἓν ἑπτάστιχον αἴνιγμα (οὗ ἡ ἀρχή· «'Εν γράμμασιν ἓξ συλλαβὰς τρισὶ φέρω· | ψυχῶν μεσίτης εἰμὶ πρὸς τὸν δεσπότην» κέ), σημειώματά τινα, ἰσόψηφα καὶ πάλιν ἓν αἴνιγμα. Τὰ λοιπὰ ἑπτὰ φύλλα περιέχουσιν ἐν ἑαυ-

τοῖς τάδε. α') «Περὶ τῆς οἰκοδομῆς τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας». Ἀρχ. «Ταύτην τὴν τοῦ Θεοῦ Μεγάλην Ἐκκλησίαν, τὴν νῦν ὀνομαζομένην Ἁγίαν Σοφίαν, πρῶτον μὲν ἀνήγειρεν ὁ μέγας Κωνσταντῖνος» κτλ. β') Βασιλείου Καισαρείας τεμάχιον. γ') Σημείωμα, ἔχον αὐτολεξεὶ οὕτως· «Ἄσπιλε, ἀμόλυντε, ἄφθορε, ἄχραντε: ποίημα Παύλου μοναχοῦ μονῆς τῆς Εὐεργέτιδος.—Δὸς ἡμῖν, δέσποτα, πρὸς ὕπνον: ποίημα Ἀντιόχου μοναχοῦ τοῦ Πανδέκτου.—Πολλοῖς συνεχόμενος πειρασμοῖς: ποίημα Θεοστηρίκτου μοναχοῦ». Καὶ ταῦτα μὲν περιέχονται ἐν τοῖς προσθέτοις ὀκτὼ φύλλοις, ἐν αὐτοῖς δὲ τοῖς παλαιοῖς καὶ ἠριθμημένοις φύλλοις ὑπάρχουσι καθ' εἱρμὸν τὰ κάτωθι κείμενα.

1. «Διάλεξις τῶν ἁγίων Βασιλείου καὶ Γρηγορίου τοῦ Θεολόγου». Ἀρχ. «Βασίλειος. Τί ἐστιν ἀρχή; Γρηγόριος. Τὸ πρῶτον αἴτιον τοῦ δευτέρου αἰτίου» κτλ., φ. α'.

2. «Ἀποκάλυψις Ἰωάννου τοῦ Θεολόγου, ἣν ἐν Πάτμῳ ἐθεάσατο». Ἀρχ. «Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ Θεὸς δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει» κτλ., φ. ζ'. Σελὶς ὀπισθία.

3. «Τῶν ἁγίων πατέρων ἐκ τῶν ἱερῶν Γραφῶν διάλυσις πάνυ ὠφέλιμος». Ἀρχ. «Ἔξεστι πάντα ἄνθρωπον χριστιανὸν τὴν ἁγίαν Κυριακὴν σὺν ταῖς λοιπαῖς ἑορταῖς ἀκριβῶς φυλάττειν» κτλ., φ. κϛ'. Σελὶς ὀπισθία.

4. «Εἰς τὰς ἁγίας εἰκόνας τῶν ἁγίων πατέρων». Ἀρχ. «Εἰρήκασι πᾶσαι αἱ ἅγιαι σύνοδοι καὶ οἱ τίμιοι πατέρες» κτλ., φ. κϛ'. Σελὶς ὀπισθία.

5. «Τῶν ἁγίων πατέρων ἐκ τῶν ἱερῶν Γραφῶν διάλυσις». Ἀρχ. «Ἀδελφοί μου ἀγαπητοί, δύο εἰσὶ λογισμῶν εἴδη, προσβολὴ καὶ συγκατάθεσις» κτλ., φ. κζ'. Σελὶς ὀπισθία.

6. «Ἐρωτήσεις διαφόρων κεφαλαίων ὧδε· τοῦ ἀββᾶ Ἀναστασίου», φ. κη'.

7. «Τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου ἅπερ ἤκουσεν παρὰ Ἰωάννου τοῦ Θεολόγου». Ἀρχ. «Εἷς Θεὸς πατὴρ Λόγου ζῶντος, σοφίας ὑφεστώσης καὶ δυνάμεως» κτλ., φ. λα'. Σελὶς ὀπισθία.

8. «Ἐκ τῶν Ἀντιόχου τοῦ Πανδέκτου» κεφάλαιον η' καὶ ἑξῆς ἄχρι κεφ. ρλ'. Ἀρχ. «Κεφ. η'. Περὶ γογγυσμοῦ: ὁ γογγύζειν εἴτε μετὰ εὐλόγου προφάσεως, εἴτε καὶ δίχα προφάσεως» κτλ., φ. λβ'-ϡϥ'. Ἐν τῇ ᾤᾳ τῆς ὀπισθίας σελίδος τοῦ ξγ' φύλλου γέγραπται ἓν αἴνιγμα.

9. «Τοῦ ὁσίου ἀββᾶ Ἰωάννου πρεσβυτέρου τοῦ Δαμασκηνοῦ ἔκδοσις ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως». Ἀρχ. «Θεὸν οὐδεὶς ἑώρακε πώποτε» κτλ., φ. ρλζ'-ρνα'.

10. «Τοῦ ἁγίου Σισόη πεντάστιχον ἰαμβικόν», οὗ ἡ ἀρχή· «Ὁρῶ σε, τάφε, δειλιῶ σου τὴν θέαν», φ. ρνα'. Σελὶς ὀπισθία ἐν τῇ ᾤᾳ.

11. Ἀνώνυμον καὶ ἀνεπίγραφον ἑξάστιχον ἰαμβεῖον, οὗ ἡ ἀρχή· «Αἶ αἶ πολυστένακτε τοῦ βίου πλάνη», φ. ρνα'. Σελὶς ὀπισθία ἐν τῇ ᾤᾳ.

12. «Στίχοι τοῦ Ψελλοῦ εἰς τοὺς ιβ' ἀποστόλους· περιέχει δὲ εἷς ἕκαστος αὐτῶν τὸ τέλος, τὸ ὄνομα, τὸν φονεύσαντα ἢ τὸν τόπον». Ἀρχ. «Σταυροῖ Πέτρου κύμβαλον ἐν Ῥώμῃ Νέρων», φ. ρνβ'.

13. «Στίχοι τοῦ ἁγίου Θεοδώρου τοῦ Στουδίτου εἰς τὴν κέλλαν». Ἀρχ. «Θρήνει με, κέλλα, σχοῦσα νωθρὸν ἐργάτην» κτλ., φ. ρνβ'. Εἶτα β') «στίχοι τοῦ αὐτοῦ εἰς ἀποτασσομένους», γ') εἰς ἡγουμένους, δ') εἰς ὑποτακτικούς. Ἐν τῇ ᾤᾳ τοῦ αὐτοῦ φύλλου στίχοι τινὲς ἀνεπίγραφοι, ὧν ἡ ἀρχή· «Βλέπω σε, κλίνη, καὶ πρὸ τοῦ τάφου τάφον».

14. «Στίχοι τοῦ σοφωτάτου Ψελλοῦ· ἔπαινος εἰς τὴν εὐχήν», οὗ ἡ ἀρχή· «Εὐχὴ διιστᾷ τοὺς βροτοὺς τῶν ἐν βίῳ», φ. ρνβ'. Σελὶς ὀπισθία. Αὐτόθι α') «Στίχοι εἰς βίον μοναχῶν». Ἀρχ. «Μοναστῶν κόσμος μέγας ἡ ἀκοσμία». β') «Στίχοι εἰς τὴν εἰκόνα τῶν Ἀσωμάτων». Ἀρχ. «Μορφὴν ἄυλον» κέ. γ') «Στίχοι εἰς τοὺς ἁγίους ἀποστόλους Πέτρον καὶ Παῦλον». Ἀρχ. «Εἷς ἦν· ἅπαντα πλὴν τοῦ σώματος». δ') Στίχοι εἰς τὰς τέσσαρας Δαλιδάς. Ἀρχ. «Τέθριππον ἅρμα τοῦ Σατάν, | Εὐδοξία, Ἡρωδιάς τε Δαλιδὰς Ἰεζάβελ» κτλ.— Φύλ. ρνγ'. ε') Στίχοι, ὧν ἡ ἐπιγραφή· «Συμβουλία».

Ἀρχ. «Ἄνθραξ ὁ Χριστός, ἡ λαβὶς ἡ παρθένος» κτλ. Ἕτεροι «εἰς ῥιπίδιον», ὧν ἡ ἀρχή· «Ζέφυρον τερπνὸν δορὰ προβάτου πνέει» κτλ. Ἕτεροι «στίχοι θεολογικοὶ δίστιχοι». Ἀρχ. «Ἀρχῆς καλὸν κάλλιστον εἶναι τὸ τέλος» κτλ.

15. «Παραινέσεις ἐγκωμιαστικαὶ κατὰ ἀλφάβητον, μονόστιχοι καὶ γλυκύταται». Ἀρχ. «Ἀγαθὰ προθύμως καὶ λάλει καὶ μάνθανε· | ἄκουε πάντων, ἐκλέγου δ' ἃ συμφέρει» κτλ., φ. ρνδ'.

16. «Στίχοι τοῦ ἁγιωτάτου μητροπολίτου Θηβῶν κυροῦ Ἰωάννου τοῦ Κοσίφη εἰς τὴν ὑπεραγίαν ἡμῶν δέσποιναν Θεοτόκον τὴν Μακαριώτισσαν». Ἀρχ. «Θρόνος σύ, παντάνασσα τοῦ Θεοῦ Λόγου· | θύρα σύ, πανύμνητε, τῶν σεσωσμένων· | αἰτῶ, θύραν ἄνοιξον εἰς σωτηρίαν· | θύρα γενοῦ μοι πρὸς καλῶν ἐργασίαν· | ναί, ναί, θύρα φάνηθι πρὸς τὸ συμφέρον» κτλ., φ. ρνε'.

17. «Τοῦ μακαριωτάτου ἀρχιεπισκόπου πάσης Βουλγαρίας κυροῦ Θεοφυλάκτου στίχοι εἰς τὴν αὐτήν». Ἀρχ. «Ἄχραντε μῆτερ τοῦ φιλανθρώπου Λόγου» κτλ., φ. ρνε'.

18. Ἀνώνυμοι «στίχοι εἰς τὴν ἑορτὴν τῶν Χριστοῦ γεννῶν». Ἀρχ. «Χριστὸς βροτωθεὶς σήμερον καινοτρόπως» κτλ., φ. ρνε'. Σελὶς ὀπισθία.

19. Ἀνώνυμοι «στίχοι εἰς τὴν Λαμπράν», ὧν ἡ ἀρχή· «Ἔλαμψεν ἡμῖν τὸ πρὸ ἡλίου σέλας», φ. ρνξ'.

20. «Στίχοι εἰς τὸν ἅγιον Ἀνδρέαν τὸν ἀπόστολον». Ἀρχ. «Ἐχρῆν μὲν ἡμᾶς τῷ χρυσαυγεῖ φωσφόρῳ» κτλ., φ. ρνς'.

21. Στίχοι εἰς τὸν ἅγιον καὶ θαυματουργὸν Νικόλαον». Ἀρχ. «Τὸν Μυρέων πρόεδρον ὕμνοις στεπτέον», φ. ρνς'. Σελὶς ὀπισθία.

22 «Ὠδάριον κυροῦ Λέοντος τοῦ σοφωτάτου καὶ βασιλέως». Ἀρχ. «Ἆρα τίς γῆθεν ἀείρας» κτλ., φ. ρνζ'.

23. «Ἐπιστολὴ Ποντίου Πιλάτου πρὸς βασιλέα Τιβέριον, περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἧς ἡ ἐπιγραφὴ ἔχει οὕτως. Ἀναφορὰ Ποντίου Πιλάτου» κτλ., φ. ρνη'.

24. «Τὰ ἀντιγραφέντα παρὰ Καίσαρος Αὐγούστου καὶ πεμφθέντα πρὸς Πιλᾶτον Πόντιον, τὴν Ἀνατολικὴν ἐπέχοντα ἀρχήν· γράψας δὲ καὶ τὴν ἀπόφασιν καὶ στείλας τοιαύτην μετὰ κούρσου-

ρος Ῥαχαάβ, δοὺς αὐτῷ καὶ στρατιώτας τὸν ἀριθμὸν δισχιλίους». Ἀρχ. «Ἐπειδή περ βίαιον» κτλ., φ. ρνθ'. Σελὶς ὀπισθία.

25. Βασιλείου Καισαρείας «λόγος εἰς τὸ Πρόσεχε σεαυτόν». Ἀρχ. «Τοῦ λόγου τὴν χρῆσιν δέδωκεν ἡμῖν» κτλ., φ. ρξ'. Σελὶς ὀπισθία.

26. «Γνῶμαι Μενάνδρου καὶ Φιλιστίωνος» 38. Ἀρχ. «Φιλιστίωνος. Εἰ πᾶσιν ἡμῖν ἦν φρενῶν κοινωνία» κτλ., φ. ρξς'. Τέλος· «Λόγος κατάγει ταρτάρου κατώτερον· λόγος δὲ αὖθις εἰς ὕψος κατάγει». Ἐν ταῖς ᾤαις τῆς ὀπισθίας σελίδος τοῦ αὐτοῦ φύλλου ὑπάρχουσι γνῶμαι τοῦ ἁγίου Γρηγορίου τοῦ Παλαμᾶ.

27. «Ἐκ τοῦ ε' βιβλίου τῶν Διατάξεων. Κατάλογος τῶν τοῦ Κυρίου ἑορτῶν, ἃς δεῖ φυλάττειν, καὶ πότε τούτων ἕκαστον ὀφείλει γίνεσθαι». Ἀρχ. «Τὰς ἡμέρας τῶν ἑορτῶν φυλάσσετε» κτλ., φ. ρξζ'.—Φύλ. ρξθ' «Ἐκ τοῦ αὐτοῦ, ὅπως ὀφείλει τὸ πάσχα γίνεσθαι καὶ πότε, καὶ ὅτι οὐ δεῖ αὐτὸ μετὰ Ἰουδαίων ἑορτάζειν». Ἀρχ. «Δεῖ οὖν ὑμᾶς, ἀδελφοί, τοὺς τῷ Χριστῷ» κτλ. — Φύλ. ροα'· σελὶς ὀπισθία· «Ἐκ τῶν αὐτῶν, βιβλίου ἑβδόμου, ὅπως χρὴ τοὺς κατηχουμένους στοιχειοῦσθαι». Ἀρχ. «Ὁ μέλλων τοίνυν κατηχεῖν» κτλ.

28. «Ἔκθεσις τῶν ἁγίων καὶ ὁσίων θεοφόρων πατέρων ἡμῶν Βασιλείου τοῦ Μεγάλου καὶ Γρηγορίου τοῦ Θεολόγου, περὶ τῆς ἁγίας καὶ ὀρθοδόξου πίστεως». Ἀρχ. «Οἱ πιστεύειν καταξιωθέντες» κτλ., φ. ροδ'.

29. «Ἔκθεσις πίστεως, ἣν ὁ ἅγιος ἀπόστολος Ἰωάννης καὶ εὐαγγελιστής, κατ' ἐπιτροπὴν τῆς παναγίας Θεοτόκου, τῷ ἁγίῳ Γρηγορίῳ τῷ Θαυματουργῷ ὑπηγόρευσεν». Ἀρχ. «Εἷς Θεός, πατὴρ Λόγου ζῶντος» κτλ., φ. ροε'. Σελὶς ὀπισθία.—Αὐτόθι· «Ὁμολογία τῆς εἰς Χριστὸν πίστεως. Φωτίου». — Εἶτα «Ἐρωταποκρίσεις Ἰωάννου τοῦ Δαμασκηνοῦ περὶ τῆς οὐσίας τοῦ Θεοῦ Λόγου καὶ τῆς ἀνθρωπίνης». Ἀρχ. «Ἐρώτησις. Ἡ φύσις τοῦ Λόγου ἐσαρκώθη, ἢ οὔ»;

30. Ἰωάννου τοῦ Χρυσοστόμου «ἑρμηνεῖαι εἰς τὸ ἅγιον Εὐαγγέλιον», φ. ρος'.

31. «Διήγησις περὶ τοῦ ἀνθρώπου καὶ τοῦ ὄφεως», φ. ροζ'.

32. «Περὶ τῶν ἁγίων εἰκόνων, τῶν λίαν σεσαθρωμένων, τί ὀφείλομεν ταύτας ποιεῖν». Ἀρχ. «Γέρων τις ἦν ἐν ἐρήμῳ» κτλ., φ. ροθ'. Σελὶς ὀπισθία.

33. Ἀθανασίου Ἀλεξανδρείας «λόγος διὰ κεφαλαίων πρὸς τὰς ἐντολὰς τοῦ Θεοῦ πᾶσι τοῖς ἀποταξαμένοις καὶ θέλουσι σωθῆναι». Ἀρχ. «Ἀδελφοί μου ἀγαπητοί, φροντίσωμεν τῆς σωτηρίας ἡμῶν», φ. ρπ'.

34. Ἰωάννου Δαμασκηνοῦ «λόγος ψυχωφελὴς καὶ θαυμάσιος (πρὸς) τοὺς τὴν ἀσκητικὴν μετερχομένους πολιτείαν». Ἀρχ. «Ἰστέον ὅτι διπλοῦς ἐστιν ὁ ἄνθρωπος», φ. ρπδ'. Σελὶς ὀπισθία.

35. «Θαῦμα τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου». Ἀρχ. «Ἐν τοῖς μέρεσι τῆς Ἀνατολῆς μοναστήριον ὑπῆρχεν, ἐπονομαζόμενον Ἡ Μεγάλη Ἀντίληψις», φ. ρπζ'. Σελὶς ὀπισθία.

36. «Διήγησις ὠφέλιμος», ἧς ἡ ἀρχή· «Ἀναχωρητής τις ἦν ἐν τοῖς κάτω μέρεσι τῆς Αἰγύπτου», φ. ρπη'.

37. Τεμάχη Ἰωάννου τοῦ Χρυσοστόμου καὶ Βασιλείου τοῦ Μεγάλου, φ. ρπη'. Σελὶς ὀπισθία.

38. «Κεφάλαια τῶν ἁγίων πατέρων κατ' ἐκλογήν». Ἀρχ. «Πᾶσα ποικιλία τῶν θεοπνεύστων Γραφῶν» κτλ., φ. ρϞ'.

39. «Ἐκ τῶν ἐπιστολῶν τοῦ ὁσίου πατρὸς ἡμῶν Νείλου πρεσβυτέρου». Ἀρχ. «Εὐνομίῳ. Λανθάνει καὶ ἵππου ὀξύτης», φ. ρϞα'.

40. Διήγησις, ἧς ἡ ἀρχή· «Διηγήσατο ἡμῖν ὁ ἀββᾶς Πίωρ, ὅτι Ὄντος μου νεωτέρου παρεβάλομεν ἐγώ τε καὶ ὁ ἀββᾶς μου πρὸς τὸν σημαιοφόρον Λογγῖνον» κτλ., φ. ρϞα'. Σελὶς ὀπισθία.

41. Ἰωάννου τοῦ Χρυσοστόμου «λόγος εἰς τὸν μάταιον βίον καὶ εἰς κοιμηθέντας». Ἀρχ. «Ὅσοι τὰ τοῦ βίου μάταια» κτλ., ρϞγ'. Σελὶς ὀπισθία.

42. «Ἐκ τῶν κεφαλαίων τοῦ ἁγίου Γρηγορίου Θεσσαλονίκης τοῦ Παλαμᾶ». Ἀρχ. «Ὁ Θεῷ συγκραθεὶς διὰ πίστεως», φ. ρϞε'. Σελὶς ὀπισθία.

43. Γρηγορίου Νύσσης ἀπόσπασμα, οὗ ἡ ἀρχή· «Οἱ γὰρ ἐν ἀνέσει ζῶντες καὶ τρυφῇ, ὑποκρινόμενοι δὲ τὸν χριστιανισμὸν» κτλ., φ. ρϞζ'.

44. «Ἐκλογὴ τῶν θεοπνεύστων Γραφῶν πάνυ σύντομος καὶ ὠφέλιμος». Ἀρχ. «Λέγει ἐν τοῖς Ἄσμασιν ὁ Σολομὼν» κτλ. φ. ρϟζ'.

45. «Τοῦ ἁγίου Ἀθανασίου μαρτυρίαι ἐκ τῆς Γραφῆς κατὰ τὴν τῆς φύσεως κοινωνίαν ἐκ τοῦ ὁμοίως εἶναι τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα πρὸς θεωρίαν δυσέφικτον». Ἀρχ. «Περὶ πατρὸς ἀναμφίβολον» κτλ., φ. σ'.

46. «Τοῦ Δαμασκηνοῦ περὶ τοῦ ἐν ποίοις ὀνόμασι τιμᾶται ἓν ἕκαστον πρόσωπον τῆς ἁγίας Τριάδος» Ἀρχ. «Τιμᾶται ὁ πατὴρ ἐν τούτοις» κτλ., φ. σε'.

47. Ἐπιφανίου Κύπρου περὶ τῆς πίστεως τῶν χριστιανῶν. Ἀρχ. «Πατήρ, υἱός, πνεῦμα ἅγιον, τρεῖς ὑποστάσεις», φ. σε'. Σελὶς ὀπισθία.

48. «Θεολογία διὰ στίχων τοῦ φιλοσοφωτάτου κυροῦ Θεοδώρου τοῦ Πτωχοπροδρόμου κατὰ ἀλφάβητον». Ἀρχ. «Ἄναρχος ἀρχὴ παντὸς αἰτία» κτλ., φ. σε'. Σελὶς ὀπισθία.

49. «Ὅροι διάφοροι σὺν Θεῷ κατὰ παράδοσιν καὶ πίστιν τῆς ἁγίας καὶ καθολικῆς ἐκκλησίας λεγόμενοι, ἐκβληθέντες ἐκ τοῦ βιβλίου τοῦ ἁγίου Ἀναστασίου τοῦ Σιναΐτου, οὗ ἡ ἐπωνυμία Ὁδηγός». Ἀρχ. «Τί Θεὸς καὶ κατὰ τί εἴρηται», φ. σϛ'.

50. «Τοῦ αὐτοῦ ὁσίου πατρὸς ἡμῶν Ἀναστασίου τοῦ Σιναΐτου σὺν Θεῷ προθεωρία τῆς ὑποθέσεως τῶν ὅρων τῆς βίβλου, ἧς ἡ ἐπωνυμία Ὁδηγός». Ἀρχ. «Τῆς καθ' ἡμᾶς πάντας βροτοὺς οὐσίας», φ. ση'. Σελὶς ὀπισθία.

51. «Ἔκθεσις τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Νικαίᾳ περὶ πίστεως κατὰ συντομίαν, καὶ πῶς δεῖ πιστεύειν τὸν ἀληθῆ χριστιανόν». Ἀρχ. «Εἴ τις βούλοιτο σωθῆναι», φ. σιδ'. Σελὶς ὀπισθία.

52. «Σύντομος καὶ σαφὴς διάγνωσις τῆς πίστεως ἡμῶν τῶν χριστιανῶν». Ἀρχ. «Ὀφείλομεν πιστεύειν, ὡς ἐβαπτίσθημεν» κτλ., φ. σιϛ'. Σελὶς ὀπισθία.

53. Γρηγορίου τοῦ Θεολόγου «λόγος περὶ θεότητος πρὸς Εὐάγριον μονάζοντα». Ἀρχ. «Σφόδρα σε θαυμάζω», φ. σιζ'. Σελὶς ὀπισθία.

54. «Στίχοι εἰς τὴν ἁγίαν τριάδα· τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου»· καί τις ἀνώνυμος ἐπιστολὴ τοὺς αὐτοὺς ἑρμηνεύουσα στίχους. Ἀρχ. «Θεὸς τὸν διττὸν οὐκ ἔχων» κτλ., φ. σιθ'.

55. Κυρίλλου Ἀλεξανδρείας «κατὰ τοῦ δυσσεβοῦς Νεστορίου κεφάλαια ιβ'». Ἀρχ. «Εἴ τις οὐχ ὁμολογεῖ Θεὸν εἶναι» κτλ., φ. σκ'.

56. Μαξίμου τοῦ ὁμολογητοῦ «περὶ τῶν δύο φύσεων τοῦ - - - Ἰησοῦ Χριστοῦ κεφάλαια δέκα». Ἀρχ. «Ὁ Ἄρειος τὰς τρεῖς ὑποστάσεις» κτλ., φ. σκα'.

57. «Τοῦ αὐτοῦ κεφάλαια δέκα περὶ οὐσίας καὶ φύσεως, ὑποστάσεώς τε καὶ προσώπου». Ἀρχ. «Ὅτι οὐσία μὲν αὐτὸ τὸ εἶδος» κτλ., φ. σκα'. Σελὶς ὀπισθία.

58. «Τοῦ σοφωτάτου καὶ λογιωτάτου καὶ τιμιωτάτου κυροῦ Γενναδίου τοῦ Σχολαρίου καὶ πατριάρχου Κωνσταντινουπόλεως ὁμιλία ῥηθεῖσα περὶ τῆς ὀρθῆς καὶ ἀμωμήτου ἡμῶν πίστεως τῶν χριστιανῶν πρὸς τοὺς Ἀγαρηνούς· ἐρωτηθεὶς γὰρ παρὰ τοῦ ἀμηρᾶ σουλτὰν Μεχέμετι—"Τί πιστεύετε ὑμεῖς οἱ χριστιανοί"; — ἀπεκρίνατο οὕτως:—Πιστεύομεν ὅτι ἔστι Θεός» κτλ., φ. σκβ'.

59. «Περὶ τοῦ πῶς δεῖ πιστεύειν εἰς τὴν ἁγίαν τριάδα», κατ' ἐρώτησιν καὶ ἀπόκρισιν. Ἀρχ. «Τί ἐστι Θεός; Ἀπόκρισις. Θεός ἐστιν οὐσία νοερὰ» κτλ., φ. σκδ'.

60. «Ἔκθεσις ἀναγκαιοτάτη τοῦ ἁγιωτάτου κυροῦ Συμεών, μητροπολίτου Θεσσαλονίκης, περὶ τῶν ἱερωτάτων τοῦ συμβόλου λέξεων· ὅθεν συνελέγησαν καὶ κατὰ τίνων αὗται συγκείμεναί εἰσι» κτλ., φ. σκζ'. Σελὶς ὀπισθία. Μετὰ τὴν ἑρμηνείαν τοῦ συμβόλου τῆς πίστεως ὑπάρχει ἡ τῆς Κυριακῆς προσευχῆς ἑρμηνεία.

61. Ἀναστασίου τοῦ Σιναΐτου, «ὅτι ἀπερίγραπτος ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατὰ τὴν θεότητα» κτλ., φ. σλ'. Σελὶς ὀπισθία.

62. «Μαρτυρίαι προφητικαὶ περὶ τῆς σαρκώσεως τοῦ Θεοῦ Λόγου, ταὐτὸν δὲ εἰπεῖν περὶ τῆς θεότητος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ περὶ τῶν θεοπρεπῶς ἅμα καὶ ἀνθρωποπρεπῶς ἐν αὐτῷ καὶ δι' αὐτοῦ οἰκονομηθέντων», φ. σλα-σλγ'. Εἶτα φύλλα δύο (σλδ', σλε') ἄγραφα.

63. «Διάλεξις μητροπολίτου Θεσσαλονίκης, γενομένη πρός τινα Ἰταλόν, περὶ τοῦ ἁγίου πνεύματος. Ἐπιχείρημα ᾱον: Ἐκ τῆς διαλέξεως τῆς κατὰ πρόσταξιν τοῦ βασιλέως κυροῦ Μανουὴλ τοῦ πορφυρογεννήτου γενομένης παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης κυροῦ Βασιλείου τοῦ Ἀχριδηνοῦ πρὸς τὸν ἀπὸ Ἰταλίας ἐλθόντα κατὰ πρόσταξιν καὶ θέλησιν τοῦ πάπα Ῥώμης εἰς τοῦτο αὐτό· διαλεχθέντες γὰρ πρότερον περί τινων ἑτέρων, οὕτω καὶ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος τὴν διάλεξιν ἐποιήσαντο». Ἀρχ. «Λατῖνος. Ἆρα ἡ ἐκ τοῦ πατρὸς τοῦ υἱοῦ αὐτοῦ γέννησίς ἐστιν οὐσιώδης», φ. σλς'. Ὅρα Ἀ. Δημητρακόπουλον ἐν τῇ Ὀρθοδόξῳ Ἑλλάδι, σ. 22-23.

64. Τεμάχη Διονυσίου Ἀρεοπαγίτου, Ἰουστίνου, Βασιλείου Καισαρείας, Ἰωάννου Χρυσοστόμου καὶ Γρηγορίου Θεολόγου, φ. σλζ'.

65. «Σχόλια ἀπὸ φωνῆς Θεοδώρου τοῦ θεοφιλεστάτου Ἀβουκαρᾶ καὶ σοφωτάτου καὶ φιλοσόφου, τήν τε θείαν καὶ ἐξωτερικὴν ὡς χρὴ φιλοσοφήσαντος γραφήν». Ἀρχ. «Ἀναγκαῖόν ἐστι μέλλοντας ἡμᾶς» κτλ., φ. σλθ'. Σελὶς ὀπισθία.

66. «Ἐρωτήσεις τινὸς σχολαστικοῦ πρὸς Συμεώνην τὸν ἐν ἁγίοις θεολόγον». Ἀρχ. «Τί ἦν ἐν τῷ κόσμῳ» κτλ., φ. σμβ'.

67. «Προβλήματα κατὰ συλλογισμὸν τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως Φωτίου περὶ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, καὶ ὅτι τὸ ζωοποιὸν πνεῦμα ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεται». Ἀρχ. «Εἴπερ ὁ υἱὸς τῷ πατρὶ κοινωνεῖ» κτλ., φ. σμδ'. Σελὶς ὀπισθία.

68. «Ἐκ τῆς πρώτης συνόδου περὶ τῆς ἁγίας τριάδος ἐκδήλωσις». Ἀρχ. «Γράφουσιν οἱ ἅγιοι πατέρες περὶ πηγῆς» κτλ. φ. σμς'.

69. Πέτρου Δαμασκηνοῦ «περὶ πνευματικῶν θεωριῶν». Ἀρχ. «Αἱ δὲ πνευματικαὶ θεωρίαι, ὡς οἶμαι, ὀκτώ εἰσιν» κτλ. φ. σνζ'-σξβ'. Εἶτα δύο φύλλα (σξγ', σξδ') ἄγραφα.

70. «Θεοφάνους μοναχοῦ τοῦ νέου καὶ φιλοσόφου περὶ τοῦ πῶς δεῖ πιστεύειν τὸν ἀληθινὸν χριστιανόν». Ἀρχ. «Πρῶτον πρέπει τῷ ἀληθινῷ χριστιανῷ» κτλ., φ. σξε'.

71. «Ἀποφθέγματα ἁγίων ἀνδρῶν». Ἀρχ. «Τὸ ἐσθίειν καὶ πίνειν ἀμέτρως» κτλ., φ. σπϛ΄.

72. «Ὕμνος εἰς τὴν ὑπεραγίαν Θεοτόκον κατὰ ἀλφάβητον». Ἀρχ. «Ἀνυμνῶ σου τὴν χάριν», φ. σπζ΄. Σελὶς ὀπισθία.

73. Βασιλείου Καισαρείας περὶ τοῦ πῶς δεῖ εἶναι τοὺς μοναχούς. Ἀρχ. «Ἀκούσατε ἀδελφοί μου εὐλογημένοι», φ. σπθ΄.— Εἶτα διατάξεις περὶ νηστειῶν, γνωμικὰ καὶ τεμάχη ποικίλα.

74. Ἀκέφαλον περὶ τοῦ ἁγίου πνεύματος. Ἀρχ. « - - - τοῦ προκειμένου διανοίας, θαρρούντως ἤδη ἀποφαίνεται ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ υἱοῦ οὐ λέγομεν» κτλ., φ. τα΄.

75. «Τοῦ αὐτοῦ [?] σύντομος καὶ ἀκριβὴς θεολογία περὶ τῆς ἁγίας τριάδος». Ἀρχ. «Ἐπὶ τῆς θεολογίας πόσας φύσεις ὁμολογεῖς», φ. τα΄. Σελὶς ὀπισθία.

76. Μαρτυρίαι περὶ τῆς ἐκ πατρὸς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος, φ. τδ΄.

77. «Ἀπόδειξις ἐναργὴς πρὸς Λατίνους ὁμολογῆσαι τὸ πνεῦμα τὸ ἐκπορευτὸν τοῦ πατρὸς καὶ οὐκ ἐκ τοῦ υἱοῦ, κατὰ τὸν λόγον τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, Ἀθανασίου ταπεινοῦ καὶ ἱερομονάχου διὰ τῆς χάριτος τῆς ὑπεραγίας Θεοτόκου καὶ οὐκ ἀπὸ μαθήσεως», φ. τζ΄.

78. Τεμάχη ποικίλα, οἷον Ἱππολύτου Θηβαίου, Διονυσίου Ἀρεοπαγίτου κλπ., φ. τθ΄.

79. Διηγήσεις ἀσκητικαὶ καί τινα τεμάχη ἀνώνυμα, φ. τιβ΄.

80. Ἐφραὶμ τοῦ Σύρου «κατήχησις περὶ ἐργασίας ἀγαθῶν ἔργων καὶ περὶ τῆς τοῦ Θεοῦ ἀνοχῆς». Ἀρχ. «Ἤδη καιρὸς ἐπείγει ἡμᾶς» κτλ., φ. τιη΄.

81. Τεμάχη Μαξίμου τοῦ ὁμολογητοῦ, Ἰωάννου τοῦ Χρυσοστόμου κτλ., φ. τιθ΄.

82. «Ὠδάριον κατανυκτικὸν Λέοντος τοῦ φιλοσόφου». Ἀρχ. «Ἆρα τίς γῆθεν ἀείρας», φ. τκβ΄.

83. Ἕτερον κατ' ἀλφάβητον. Ἀρχ. «Ἄνανδρε μῆτερ, πῶς ἀπάτορα φέρεις» κτλ., φ. τκγ΄. Σελὶς ὀπισθία.

84. Διάταξις ἀνώνυμος καὶ ἀκέφαλος τῆς θείας λειτουργίας, φ. τκε΄.

85. Ἀνώνυμος καὶ ἀκέφαλος ἑρμηνεία τῶν κατὰ τὴν θείαν λειτουργίαν. Ἀρχ. «Τὰ δισκοποτηροκαλύμματά εἰσι τὸ σουδάριον. ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἐν τῷ αὐτὸν ἐνταφιάζεσθαι» κτλ., φ. τκζ'. Ἐν τῇ ὀπισθίᾳ σελίδι τοῦ τκη' φύλλου ὑπάρχει κεφάλαιον περὶ τοῦ ζέου, οὗ ἡ ἀρχὴ ἔχει οὕτως· «Εἰς δὲ τὸν θεῖον κρατῆρα τίθωμεν τὸν ἰσθμόν, βάλλοντες τὸν οἶνον, τοῦ γενέσθαι ὑπὸ πάσης τῆς λειτουργίας θεῖον αἷμα, βάλλοντες καὶ σταλαγμὸν ὕδατος· καὶ ὅταν θέλωμεν κοινωνεῖν, τίθωμεν καὶ θερμὸν τὸ ἀρκοῦν ἐν τῷ οἴνῳ, τυποῦντες τὸ θεῖον ὕδωρ τὸ ἐξελθὸν ἐκ τῆς πλευρᾶς τῆς ἀχράντου· δύο γὰρ κρουνοὶ ἐξῆλθον, αἵματος καὶ ὕδατος, τῷ αἵματι δεικνύων τὴν νέκρωσιν τοῦ σώματος» κτλ.

86. Ἀνεπίγραφον περὶ τῶν αἱρέσεων τῶν Φραγγῶν. Ἀρχ. «α'. Ἐναντία τοῖς ἁγίοις πατράσι καὶ διδασκάλοις», φ. τλε'. Σελὶς ὀπισθία.

87. «Ποίημα τοῦ Στρυμβάγγονος»· τροπάρια, ὧν ἡ ἀρχή· «Ἀπὸ καρδίας, ἀθλητά, τῶν ἀγαθῶν χηρευούσης τῶν ἐμῶν ἱκετηρίων ῥημάτων τὴν προσφορὰν ταύτην δέχου» κτλ., φ. τλθ'.

88. «Γρηγορίῳ ἑταίρῳ, ἤγουν τῷ Θεολόγῳ». Ἀρχ. «Ἐπέγνων σου τὴν ἐπιστολήν» κτλ., φ. τμ'.

89. Ἀνώνυμον ἐγκώμιον εἰς τὸν ἅγιον Δημήτριον, οὗ ἡ ἀρχή· «Τρισαριστεῦ ἀντιλῆπτορ ἡμῶν», φ. τμδ'.

90. «Τυπικὸν τῆς προηγιασμένης λειτουργίας». Ἀρχ. «Λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα», φ. τμδ'. Σελὶς ὀπισθία.

91. «Φωτίου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, λόγος περὶ τῶν αἱρέσεων τῶν Φραγγῶν». Ἀρχ. «Ἐπειδὴ ὁ βροτοκτόνος Βελίαρ καὶ σοφιστὴς τῆς κακίας» κτλ., φ. τμς'.

92. «Ἐγκώμια ψαλλόμενα εἰς τὸν μέγαν ἱεράρχην Νικόλαον τὸν μυροβλύτην». Ἀρχ. «Μακαρίζομέν σε, μυροβλύτα Χριστοῦ, καὶ τιμῶμέν σου τῶν μύρων τὴν πρόσχυσιν» κτλ., φ. τνα'. Σελὶς ὀπισθία.

93. Στιχηρὰ εἰς τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς Ἀναστάσεως, εἰς ἦχον δ', πρὸς τὸ Ἔδωκας σημείωσιν. Ἀρχ. «Σήμερον ὁ ἔνθεος *

καὶ ἱερὸς καὶ σεβάσμιος* τῆς Χριστοῦ Ἀναστάσεως* φαιδρῶς ἐγκαινίζεται» κτλ., φ. τνβ'. Σελὶς ὀπισθία.

94. Τεμάχιον ἀκέφαλον τάξεώς τινος εἰς κατασκευὴν τοῦ ἁγίου μύρου. Ἀρχ. « - - - ὁ δὲ ταχθεὶς ὑπηρέτης ἐν τούτοις, εἴτε ὁ ἱερομνήμων, εἴτε ὁ ἀρχιδιάκονος» κτλ., φ. τνγ'.

95. «Ἀκολουθία ἐπὶ φαντασίας καὶ ὀνειρώξεως», φ. τνδ'. Σελὶς ὀπισθία.

96. «Εὐχὴ ἐξομολογήσεως εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου». Ἀρχ. «Ἐξομολογοῦμαί σοι, πάτερ κύριε, ποιητὰ οὐρανοῦ» κτλ., φ. τνζ'.

97. «Κανών· χαιρετισμὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα τοῦ εὐσεβεστάτου βασιλέως κυροῦ Θεοδώρου τοῦ Λάσκαρι». Ἀρχ. «Χαίροις, ἱλαστήριον ψυχῶν», φ. τξβ'. Σελὶς ὀπισθία.

98. «Εὐχὴ ἐπὶ χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων». Ἀρχ. «Ὁ Θεὸς ὁ αἰώνιος, ὁ ρυσάμενος ἐκ τῆς αἰχμαλωσίας τοῦ Διαβόλου» κτλ., φ. τξϛ'.

99. Ἀνώνυμος διὰ στίχων εὐχὴ πρὸς τὴν Θεοτόκον· εἶτα στίχοι Νεοχωρίτου γραμματικοῦ, Διονυσίου μοναχοῦ, Γαλακτίωνος μοναχοῦ, Φιλῆ, Μητροφάνους μοναχοῦ, Χαρσιανίτου καὶ Σταφίδου. Φύλ. τξϛ'.

100. «Κανὼν ἐπὶ ἀνομβρίας, οὗ ἡ ἀκροστιχίς· Δίδου ὑετὸν τῇ γῇ διψώσῃ, σῶτερ· ἐν δὲ τοῖς θεοτοκίοις· Φῶς πιστῶν», φ. τξζ'. Ἦχος β'.

101. «Εὐχαὶ ἱκετήριοι, συντεθεῖσαι ἐπὶ τῇ φοβερᾷ καὶ παγκοσμίῳ πληγῇ τοῦ θανάτου, καὶ ἀναγινωσκόμεναι ἐν ταῖς λιταῖς». Ἀρχ. «Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου» κτλ., φ. τοα'. Σελὶς ὀπισθία.

102. «Κανὼν εἰς τὸν εὐαγγελισμὸν τῆς παναγίας Θεοτόκου· ποίημα μὲν ὢν τοῦ ἁγίου μεγάλου ποιητοῦ Κοσμᾶ εἰς τὴν τῶν Βαΐων ἑορτήν, μεταποιηθεὶς δὲ ἀπὸ μέρους εἰς ταύτην τὴν ἱερὰν ἑορτὴν ὑπὸ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Φιλοθέου· οὗ ἡ ἀκροστιχίς· Ὡσαννὰ Χριστὸς εὐλογημένος Θεός». Ἦχος δ'. Ἀρχ. «Ὤφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου σου», φ. τπ'.

103. «Τοῦ ἁγίου ἱερομάρτυρος Πατρικίου, ἐπισκόπου Προύσης, διήγησις περὶ κρίσεως μελλούσης καὶ τῶν ἐπὶ γῆς κολάσεων». Ἀρχ. «Οὗτος ὁ ἅγιος ἱερομάρτυς Πατρίκιος λέγει, ὅτι δύο τόπους ἡτοίμασεν ὁ Θεὸς» κτλ., φ. τπς΄.

304. Τεῦχος χάρτινον ἐκ φύλλων 208, μήκους 0,21, πλ. 0,15. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 19 (0,155×0,105). Ἐγράφη ἔτει 1615·φ· ὅρα τὸ ἔσχατον φύλλον, ἐν ᾧ γέγραπται τὸ σημείωμα τοῦτο· «† Κτῆμα καὶ πόνος Μελχισεδὲκ ἐπισκόπου Ῥαιδεστοῦ πέλει τὸ παρόν· ἐγράφη ἐν ἔτει ‚αχιε^φ, οἱ δ' ἀναγινώσκοντες εὔχεσθαί μοι [sic] διὰ τὸν Κύριον». Αὐτόθι· «Ἐκ τῶν τοῦ Δοῦκα Ἀποστόλ(ου) Μυτιληναίου καὶ λογοθέτου Σμύρνης». Καὶ ἔνδον τῆς πρώτης πινακίδος ἕτερον σημείωμα· «1690 † τωπαρῶν, γεομετρικῶ, βιβλὴον, πέλει καὶ εἰπὰρχη, Γαβριὴλ θήτου, καὶ Ἰβερίτου· πατρὶς δὲ αὐτοῦ, Χίος λίαν περίφημος». Καὶ ἐν τῇ ᾤᾳ τοῦ 1-ου φύλλου· «Περιῆλθε τῷ παναγίῳ καὶ ζωοδόχῳ Τάφῳ διὰ Χρυσάνθου πατριάρχου». Καὶ πάλιν· «Καὶ τόδε Καισαρίου τοῦ Πελοποννησίου κτῆμα».

1. «Τοῦ σοφωτάτου Νικηφόρου τοῦ Βλεμίδους περί τε μετεώρων καὶ οὐρανοῦ καὶ ἑτέρων ἀναγκαίων θεωρημάτων». Ἀρχ. «Περὶ τῶν φαινομένων φλογῶν, καιομένων περὶ τὸν οὐρανόν, καὶ τῶν καλουμένων αἰγῶν καὶ δαλῶν καὶ διαθεόντων ἀστέρων. Κεφάλαιον ιβ^ον. Ἄνωθεν μὲν ἀπὸ τῆς ἀρχῆς τοῦ στερεώματος» κτλ., φ. 1-102. Τελευταῖον κεφάλαιον τὸ λα΄, ὃ περὶ κενοῦ. Εἶτα ἀπόσπασμα «ἐκ τῆς εἰς τὸν η΄ ψαλμὸν ἐξηγήσεως».

2. «Ἡ παροῦσα σύνοψις περὶ φύσεως ἀνθρώπου ἐπενοήθη καὶ συνελέγη καὶ συνετέθη παρὰ Μελετίου μοναχοῦ, θέματος τοῦ Ὀψικίου, βάνδου Ἀκροκοῦ, χωρίου Τιβεριουπόλεως, μονῆς λεγομένης τῆς Ἁγίας Τριάδος» κτλ. Ἀρχ. «Τὰ περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς» κτλ. φ. 103^α-196^α. J. A. Cramer, Anecd. Oxon. III, σ. 1 κἑ.

3. «Ὅροι καὶ ὑπογραφαὶ κατὰ στοιχεῖον· χρὴ δὲ γινώσκειν, ὅτι ὅσοις πρόκειται Β̄ τοῦ ἁγίου Βασιλείου ὅροι εἰσίν· ἐν οἷς δὲ Γ̄ καὶ Ν̄ Γρηγορίου Νύσσης· ἔνθα δὲ Ā καὶ Ν̄ Ἀναστασίου Ἀν-

τιοχείας, καὶ ἐν οἷς ἐστι Κ καὶ Λ Κλήμεντος τοῦ Στρωματέως, τὸ Μ Μαξίμου, τὸ Λ Λεοντίου μοναχοῦ τοῦ Βυζαντίου, τὸ Ι καὶ Σ Ἰσιδώρου πρεσβυτέρου Ἀλεξανδρείας, τὸ Α καὶ Μ Ἀμμωνίου φιλοσόφου, τὸ Θ Θεοδώρου τῆς Ῥαϊθοῦ, τὸ Η καὶ Λ Ἠλία φιλοσόφου», φ. 196β-208β.

305. Αὐτόγραφα τετράδια διαφόρων ἱεροκηρύκων τῆς ιζ' ἑκατονταετηρίδος (1628-1684). Φύλλα 317. Ἐν τῇ ἀρχῇ προσετέθη πίναξ τῶν ἐν αὐτοῖς ὁμιλιῶν. Σημειωτέα· α') Διδαχὴ ἀνεπίγραφος (φ. 1-22), ἧς ἡ ἀρχή· «Εὑρίσκεται ἡ ὕλη ἀνείδεος καὶ ἀσχημάτιστος, καθὼς λέγουσιν οἱ φιλόσοφοι» κτλ. Μετὰ τὸ πέρας τῆς διδαχῆς· «,αχκη' [= 1628] ἐλέχθη ἐν τῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Θωμᾶ, ὀκτοβρίῳ ς', παρεμοῦ Κωνσταντίνου ἀναγνώστου Μαϊνέτα».—β') Διδαχὴ εἰς τὴν ἑορτὴν τῆς Ὑπαπαντῆς (φ. 52-66). Ἀρχ. «Μεγάλη καὶ θαυμαστὴ χαρὰ σήμερον» κτλ. Μετὰ τὸ πέρας τῆς διδαχῆς· «,αχλα' [=1631] φευρουαρίῳ β' ἐλέχθη ἐν τῷ ναῷ τῆς Νέας Μονῆς - - - παρεμοῦ Κωνσταντίνου ἀναγνώστου Μαϊνέτα».—γ') Διδαχαὶ τῶν ἐτῶν 1664 (φ. 146), 1668 (φ. 162) καὶ 1683 (φ. 67).—δ') Τύπος ὁμολόγου τοῦ 1682-ου ἔτους, φ. 168. —ε') «Τοῦ μακαριωτάτου καὶ σοφωτάτου πατρὸς ἡμῶν καὶ πατριάρχου Ἀλεξανδρείας κυρίου Γερασίμου τοῦ Παλαδᾶ λόγος εἰς τὴν περιτομήν». Ἀρχ. «Ἀνάμεσα εἰς ταῖς πολλαῖς διαφοραῖς» κτλ., φ. 197. — ζ') Ἀκέφαλος λόγος εἰς τὴν ἁγίαν Φωτεινήν», φ. 296-299. Μετὰ τὸ πέρας αὐτοῦ· «1639 μαΐῳ 13 ἐν Σμύρνη, ἱερεὺς Ἀντώνιος (?) Καλλιάρχης»[1].—ς') «Περὶ τοῦ ὕδατος τοῦ αἰσθητοῦ καὶ νοητοῦ». Ἀρχ. «Νὰ εὕρῃς αὐτὸν ὁποῦ εἶναι ὅλον φῶς» κτλ., φ. 300. Μετὰ τὸ κείμενον· «1684 ἐν τῷ ναῷ τοῦ πατρός μου. Ἱερεὺς - - - Καλλιάρχης».

306. Διάφορα χάρτινα τετράδια τῆς ιη' καὶ τῆς ιθ' ἑκατ. Σημειωτέα· α') «Ἰωάννου τοῦ Χρυσοστόμου λόγος περὶ προσευχῆς. Ἐξήγησις τοῦ διδασκάλου κυρίου Κυρίλλου», φ. 23. Μετὰ τὴν ἐξήγησιν· «,αωιε' [= 1815] ἰουλίου ιη. Πάτμος». — β') «Νικη-

[1] Εἷς Ἀντώνιος ἱερεὺς Καλλίαρχος, πνευματικὸς καὶ πρωτέκδικος Χίου ἔτει 1590-ῳ, ἀναφέρεται παρὰ τῷ Κατραμῇ. Φιλολογικὰ ἀνάλεκτα Ζακύνθου, σ. 190-193.

φόρου τοῦ πατριάρχου Κωνσταντινουπόλεως ὀνειροκριτικὸν κατὰ ἀλφάβητον διὰ στίχων ἰαμβικῶν». Ἀρχ. «Ἄρχε πρὸ πάντων καὶ παθῶν καὶ κοιλίας». Ἐκδ. Rigaltii σ. 10.—γ') «Στίχοι ἡρωϊκοὶ ἐν εἴδει ἐγκωμίου προσφωνηματικοῦ εἰς τὸν παναγιώτατον, θειότατον, σοφώτατον καὶ οἰκουμενικὸν πατριάρχην κ. κ. Κωνστάντιον». Ἀρχ. «Τίς δήπου σ' ὄχ ἄριστε ἱεραρχῶν» κτλ. Ποιητὴς τῶν στίχων τούτων ἐστὶ Φιλήμων τις.—δ') «Ἐπίγραμμα ἡρωελεγεῖον πρὸς τὸν παναγιώτατον καὶ θειότατον οἰκουμενικὸν πατριάρχην κ. κ. Ἀγαθάγγελον»[1]. Καὶ τούτου ποιητὴς ὁ αὐτὸς Φιλήμων.—ε') «Ἐπίγραμμα δι' ἰαμβικῶν στίχων τριμέτρων ἀκαταλήκτων πρὸς τὸν ἱεροδιδάσκαλον ἡμῶν κ. κ. Σαμουήλ»[2]. Ἀρχ. «Ἀστὴρ σὺ φαιδρὸς» κτλ. — ς') «Ἐγκώμιον εἰς τὸν ἡμέτερον ἱεροδιδάσκαλον κ. κ. Σαμουήλ». Ἀρχ. «Πρᾶγμα πολλὰ δίκαιον καὶ ὠφέλιμον» κτλ.—ζ') «Θεματογραφία τοῦ σοφωτάτου διδασκάλου τῆς ἐν Κωνσταντινουπόλει σχολῆς, τοῦ ἐκ Μιτυλήνης Δωροθέου». Μετὰ τὸ πέρας· «Πάτμος 1815 σεπτ. 29»[3].—η') «Σημειώματα περιεργείας χάριν τοῦ σοφολογιωτάτου κ̅υ̅ κ̅υ̅ Φωτίου».

307. Θεματογραφία καὶ λείψανον ἐκτενοῦς τινος μεταφυσικῆς. Συνερραμμένα χάρτινα τετράδια δύο κωδίκων τῆς ιη' ἑκατοντ.

308. Τεῦχος χάρτινον τῆς ιη' ἑκατονταετηρίδος (μήκους 0,225, πλ. 0,172) ἐκ φύλλων ἠριθμημένων 154· οὗ αἱ πινακίδες εἰσὶ περικεκαλυμμέναι ὑπὸ δύο μεμβρανίνων φύλλων τῆς ια' ἑκατ. Ἐν τῇ ἀρχῇ ὑπάρχει πίναξ τῶν ἐν αὐτῷ τούτῳ τῷ τεύχει περιεχομένων ὑποθέσεων. Ἐπιγραφή· «Ἐκ τῶν τοῦ Ἰουγλάρι. Μεταγλώττισις Μανουὴλ Λαμενίτου τοῦ Κρητός». Λόγοι δέκα, ὧν ὁ πρῶτος ἐπιγραφὴν ἔχει τὸ «Ὁ συνήγορος τῶν πτωχῶν». Ἀρχ. «Ἀναμεταξὺ τῶν πολλῶν δυστυχιῶν» κτλ.

[1] Ὅρα περὶ τούτου σημείωσιν Θεοδ. Ἀριστοκλέους: Κωνσταντιου α' τοῦ ἀπὸ Σιναίου - - βιογραφία καὶ αἱ ἐλάσσονες συγγραφαί. Ἐν Κωνσταντινουπόλει 1866, σ. 63.

[2] Περὶ Σαμουὴλ τοῦ Κυπρίου ἐν τοῖς τοῦ Μ. Γεδεὼν χρονικοῖς τῆς πατριαρχικῆς ἀκαδημίας (ἐν Κωνσταντινουπόλει 1883), σ. 194 κέ.

[3] Περὶ Δωροθέου τοῦ Πρωΐου ὅρα Κωνσταντίου τοῦ ἀπὸ Σιναίου βιογραφίαν, σ. 162-163. Ἑλλην. Φιλολογ. Σύλλ. Κωνσταντινουπόλεως, τ. XIII, σ. 203-253. Μ. Γεδεὼν χρονικὰ τῆς πατρ. ἀκαδ. σ. 179-181. Ἀ. Π.-Κεραμέως ἐκθ. παλαιογρ. ἐρευνῶν, σ. 44.

309. Τεῦχος χάρτινον (μήκ. 0,215, πλ. 0,155) ἐκ σελίδων ἠριθμημένων 165, ὧν ἐλλείπουσιν αἱ σελίδες 65-86, 125-132 καὶ 139-150· ἄλλαι δέ τινες (87-123) ἀφέθησαν ἐξ ἀρχῆς ἄγραφοι.

1. Κωνσταντίνου Τριανταφύλλου διδασκάλου τοῦ ἐκ Ζαγορᾶς ἐπιστολὴ πρὸς ἀρχιερέα, ἧς ἡ ἀρχή· «Ἐπειδὴ οὐ τὸ μανθάνειν ἀμάρτημα» κτλ., σ. 1. Περὶ τοῦ Κωνσταντίνου τούτου ὅρα Ν. Ι. Μάγνητος περιγραφὴν ἢ τοπογραφίαν τῆς Θεσσαλίας καὶ Θετταλικῆς Μαγνησίας (ἐν Ἀθ. 1860), σ. 86.

2. «Τοῦ Καλλινίκου πατριάρχου Κωνσταντινουπόλεως, ἰδιωτεύοντος ἐν Ζαγορᾷ τῇ πατρίδι αὐτοῦ τῆς Δημητριάδος»[1], ἐπιστολὴ πρὸς τὸν οἰκουμενικὸν πατριάρχην Σωφρόνιον α' ἀχρονολόγητος (σελ. 4-9), δι' ἧς ἐκφράζει αὐτῷ χαρὰν ἰδίαν ἐπὶ τῇ εἰς τὸν πατριαρχικὸν θρόνον ἀναβάσει· λέγει δὲ σὺν ἄλλοις αὐτῷ καὶ ταῦτα· «ἐγὼ δὲ τὴν σὴν καλοκἀγαθίαν εἰδώς, θαρρῶν ποιοῦμαι καὶ παράκλησιν ἐν τοῖς γράμμασιν, αἰτῶν τὰ τῶν φίλων, καί μοι μηδὲν ἀχθεσθῇς ἀπὸ πρώτης φορτικῷ σοι δοκοῦντι - - - Οὐκ οἶμαι τοῦτο λανθάνειν τὴν σὴν μεγαλόνοιαν, ὡς ὡριστό μοι παρα τοῦ Κοινοῦ ἐτήσιόν τι ἐν λόγῳ σιτηρεσίου δίδοσθαι· ὃ δὴ ἵνα λαμβάνειν ἔχοιμι ἐφ' οἷς τοῦτο προστέτακτο, ἐπέμποντό μοι αὐτόθεν κατ' ἔτος τὰ τῆς ἀποδείξεως καλούμενα γράμματα· ὧν δὴ εἰς χεῖρας ἡκόντων τὰς ἐμὰς καὶ πεμπομένων πρὸς οὓς ταῦτ' ἐγέγραπτο ἐκομιζόμην τὸ ἐτήσιον, καθ' ἡσυχίαν ἐμαυτῷ συγγινόμενος καὶ τοῖς νεκροῖς, ὡς ἂν εἴποιμι, συγχρωτιζόμενος. Πέρυσι δὲ καὶ τῆτες οὐκ οἶδα τί παθὼν ὁ γεννάδας ἐκεῖνος καὶ ἀλαζὼν Σαμουήλ, ὁ πάντα ἑαυτοῦ διὰ φιλοτιμίαν ποιούμενος, πέμψαι μοι τὰ ἀποδεικτικὰ οὐκ ἠξίωσε. Καίτοι πολλὰ ἐπιστείλας ἄλλοις τε καὶ αὐτῷ γε ἐκείνῳ, ἀλλ' οὖν οὐδὲν ἤνυσα, καὶ πῶς ἂν δυναίμην σιωπᾶν ἢ ἠρεμεῖν οὕτω παρεωραμένος»; Ὅλον τὸ κείμενον τῆς ἐπιστολῆς ταύτης ἐκ τοῦ αὐτοῦ κώδικος κατεχώρισε Βασίλειος ὁ Γεωργιάδης ἐν τῇ Ἐκκλησ. Ἀληθείᾳ, τ. III, σ. 633-634.

[1] Περὶ τοῦ οἰκουμενικοῦ πατριάρχου Καλλινίκου δ' ὅρα Ζωσιμᾶ τοῦ Ἐσφιγμενίτου *Προμηθέα* (ἐν Βόλῳ 1895), τ. VII, σ. 707-711, 713-717, καὶ τ. VIII, σ. 79-80 καὶ 88. Β. Γεωργιάδου πραγματεία ἐν τῇ Ἐκκλησ. Ἀληθείᾳ (1883), τ. III, σ. 617-621.

3. «Λόγος α' εἰς τὸν α' ψαλμὸν τοῦ Δαβίδ, ἐκπονηθείς, καθὼς καὶ οἱ ἔμπροσθεν, παρὰ παχαρνίκου Ζήσου Θεοδοσιάδου ἐξ ἐπαρχίας Δημητριάδος, ἐκ χώρας 'Αγίου Λαυρεντίου, κειμένης ὑπὸ τὸ Πήλιον ὄρος». 'Αρχ. «"Ω πόσην χαράν, εὐλογημένοι ἀδελφοί» κτλ., σ. 11 κἑ. "Επονται τρεῖς ἔτι λόγοι τοῦ αὐτοῦ Ζήσου εἰς τοὺς ψαλμοὺς β', γ', δ'. Εἰδήσεις περὶ τοῦ Θεοδοσιάδου καὶ πολλὰ αὐτοῦ στιχουργήματα κατεχώρισεν ὁ Ν. Σταυρίδης ἐν τῷ 'Ημερολογίῳ 'Η Φήμη, τῷ ἐκδοθέντι ὑπὸ Ζωσιμᾶ 'Εσφιγμενίτου ἐν Βώλῳ ἔτει 1886, σ. 33-54.

4. «Εὐχὴ δευτέρα 'Ιωάννου τοῦ Χρυσοστόμου». 'Αρχ. «Κύριε ὁ Θεός μου, ὁ μέγας καὶ φοβερός», σ. 5.

5. «'Αποκριτικὸν παρὰ τοῦ ἐκλαμπροτάτου πεγζαδὲ Νικολάου Μουρούζη πρὸς τὸν πρώην παναγιώτατον οἰκουμενικὸν πατριάρχην Κύριλλον, εὐχαριστήριον περὶ τῆς διερμηνείας αὐτοῦ εἰς τὴν βασιλικὴν ναυαρχίαν· ,αωιθῳ ἰαννουαρίῳ». Σελὶς 124 κἑ.

6. «Πρὸς τὴν ἐκλαμπροτάτην δόμναν κ. κ. Ζωὴν Μουρούζη παρὰ τοῦ ὑψηλοτάτου αὐθέντου Οὐγγροβλαχίας κ. κ. 'Αλεξάνδρου Νικολάου Σούτζου, ,αωιθ' ἰαννουαρίου κγ'». Σελὶς 133 κἑ.

7. «'Αποκριτικὸν τῆς ἐκλαμπρότητός της», σ. 135.

8. «'Αποκριτικὸν τῆς ἐκλαμπροτάτης δόμνης Οὐγγροβλαχίας κ. κ. Εὐφροσύνης Καλλιμάχου, συζύγου τῆς ὑψηλότητός του τοῦ αὐθέντου Σούτζου περὶ τῆς αὐτῆς ὑποθέσεως». Σελὶς 136 κἑ.

9. 'Αποκριτικὸν ἕτερον γράμμα, σ. 138.

10. «'Εκ τῶν τοῦ σοφολογιωτάτου διδασκάλου κυρίου Νικολάου Βάρκοση ἀρίστων ἐπιγραμμάτων, δεδοκιμασμένων καὶ παραδομένων, πληθύς» (?), σ. 153.

310. Τεῦχος χάρτινον τῆς ιη' ἑκατονταετηρίδος ἐκ φύλλων γεγραμμένων 134, μήκ. 0,212, πλ. 0,181. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 22-23 (0,157 × 0,125). — α') «Χρυσάνθου τοῦ μακαριωτάτου πατριάρχου τῶν 'Ιεροσολύμων ἱστορία καὶ περιγραφὴ τῆς 'Αγίας Γῆς καὶ τῆς ἁγίας πόλεως 'Ιερουσαλήμ, ἐν ᾗ καὶ περὶ τῆς ἀρχαίας οἰκοδομῆς τῆς ἐν αὐτῇ μεγάλης ἐκκλησίας, ἤτοι τοῦ σεβασμίου καὶ θείου ναοῦ τῆς τοῦ Κυρίου ἡμῶν 'Ανα-

στάσεως, κοινῶς ἤδη λεγομένης τοῦ Ἁγίου Τάφου, καὶ τῶν μετὰ ταῦτα ἀνακαινισμῶν τοῦ αὐτοῦ κατὰ διαφόρους καιρούς».—β') Νεκταρίου πατριάρχου Ἱεροσολύμων ἐγκώμιον εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ καὶ τὸν μακαριώτατον πατριάρχην Ἱεροσολύμων κὺρ Παΐσιον». Ἀρχ. «Ἂν εἶναι δίκαιον νὰ θαυμάζωνται» κτλ.

311. Τεῦχος χάρτινον ἐκ φύλλων 122, μήκους 0,208, πλ. 0,155. Ἐγράφη ἔτει 1709-ῳ· ὅρα τὸ 122-ον φύλλον, ἐν ᾧ γέγραπται τὸ σημείωμα τοῦτο· «Οἱ ἀναγινώσκοντες μέμνησθε τοῦ γράψαντος Μακαρίου ἱερομονάχου τοῦ Μιτυληναίου:- ,αψθῳ: ἐν μηνὶ δεκεβρίῳ».

1. «Ἀφθονίου σοφιστοῦ προγυμνάσματα». Ἀρχ. «Ὁ μῦθος ποιητῶν μὲν προῆλθεν» κτλ., φ. 1-18.

2. «Σύνοψις τέχνης ῥητορικῆς κατὰ πεῦσιν καὶ ἀπόκρισιν, συντεθεῖσα παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου μεγάλου ῥήτορος τῆς Μεγάλης Ἐκκλησίας κυρίου Ἀλεξάνδρου, ἰατροῦ τε ἀρίστου, τοῦ ἐκ Κωνσταντινουπόλεως». Ἀρχ. «Τί ἐστι ῥητορική; Ῥητορική ἐστι τέχνη» κτλ.

312. Τεῦχος χάρτινον ἐκ φύλλων ἠριθμημένων 273, μήκους 0,208, πλ. 0,15. Αὐτόγραφον Γερασίμου Βλάχου τοῦ Κρητός. Ἐν τῇ ἀρχῇ κεῖνται φύλλα ἓξ πρόσθετα, ἐν οἷς ἀναγέγραπται πρῶτον πίναξ λεπτομερὴς τῶν ἐν αὐτῷ τούτῳ τῷ τεύχει περιεχομένων ὑποθέσεων, εἶτα ἡ ἐπιγραφὴ καὶ τέλος ἡ προθεωρία, ἥτις ἐγράφη «Ἐν τῇ τῆς Παλαιοπόλεως μονῇ. 1671 ὀκτωβρίου 26». Ἐπιγραφή· «Εἰς τὸ πρῶτον βιβλίον τῆς ἱερᾶς σχολαστικῆς θεολογίας παραφράσεις τε καὶ ζητήματα ἐκδοθέντα ἐν τῷ Αῳ βιβλίῳ περὶ ὀρθοδόξου πίστεως τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ, παρὰ Γερασίμου ἱερομονάχου Βλάχου τοῦ Κρητός, τοῦ τῶν ἐπιστημῶν κατ' ἀμφοτέρας τὰς διαλέκτους κοινοῦ διδασκάλου καὶ τοῦ ἱεροῦ Εὐαγγελίου ταπεινοῦ κήρυκος. Τόμος δεύτερος». Ἀρχ. «Προθεωρία τῶν ζητημάτων. Ἡ περὶ Θεοῦ θεωρία, εἰ καὶ καθ' αὐτὸ πέφυκε γνώριμος» κτλ. Ἐν τῷ 273-ῳ φύλλῳ· «Τέλος σὺν θεῷ τοῦ αου βιβλίου 1672. φευρ. 28. ἐν τῇ τῆς Παλαιοπόλεως μονῇ, ἤτοι ἐν Κερκύρᾳ».

313. Τεῦχος χάρτινον ἐκ φύλλων 184, μήκους 0,207, πλ. 0,153. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 23 (0,148×0,095). Ἐγράφη ἔτει 1580-ῳ· ὅρα τὸ 184-ον φύλλον, ἐν ᾧ γέγραπται τὸ σημείωμα τοῦτο· «† Ἐγράφη ἐν Μεσσήνῃ τῆς Σικελίας διὰ χειρῶν τοῦ εὐτελοῦς ἱερέως Ἰωάννου Εὐριπιώτου ἐπικεκλημένου. τοῦ ἀπὸ Χίου. ἐν ἔτει ͵αῳ φῳ πῳ. μηνὶ φευρουαρίῳ».

1. «Περὶ ἀρχῶν τῆς μαθηματικῆς, καὶ περὶ γενῶν καὶ εἰδῶν αὐτῆς, καὶ ἐν ποίᾳ κατηγορίᾳ ἀναφέρεται», φ. 1-5.

2. Εὐκλείδου ἐκ τῶν Θέωνος συνουσιῶν βιβλία ζ' μετὰ ποικίλων γεωμετρικῶν σχημάτων, φ. 6-156.

3. «Κλαυδίου Πτολεμαίου ἁρμονικῶν πρῶτον, περὶ τῶν ἁρμονικῆς κριτηρίων». Ἀρχ. «Ἁρμονικὴ μέν ἐστι δύναμις καταληπτική» κτλ., φ. 157-184.

314. Τεῦχος χάρτινον τῆς ιη' ἑκατοντ. ἐκ φύλλων 47, μήκους 0,207, πλ. 0,155. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 24 (0,172×0,11).—«Γραμματικὴ συντεθεῖσα παρὰ τοῦ σοφωτάτου Θεοδώρου τοὐπίκλην Πτωχοπροδρόμου». Ἀρχ. «Καθάπερ τὸ ἀνθρώπινον σῶμα, φιλολογωτάτη μοι βασιλίδων» κτλ. Τέλος· «τέως δὲ νῦν ἔχεις παρ' ἡμῶν περατωθεῖσάν σοι τὴν ἐπιταγήν».

315. Τεῦχος χάρτινον τῆς ιη' ἑκατονταετηρίδος (μήκ. 0,21, πλ. 0,154) ἐκ σελίδων ἠριθμημένων 286, ὧν τινες ἄγραφοι (116-120 καὶ 250-252)· ἔστι δὲ τοῦτο αὐτόγραφον Μάρκου Πορφυροπούλου τοῦ Κυπρίου.

1. «Νικηφόρου περὶ οὐρανοῦ καὶ ὅτι ὁ κόσμος οὐκ ἔστιν ἀΐδιος». Ἀρχ. «Τὸν οὐρανὸν ὅρον ἄνω εἶναι καὶ ἡ ἀνάπτυξις δηλοῖ» κτλ., σελ. 1-88.

2. «Νικηφόρου μοναστοῦ καὶ πρεσβυτέρου, τοῦ κτήτορος, εἰσαγωγικῆς ἐπιτομῆς περὶ τῶν φυσικῶν ἀρχῶν καὶ αἰτιῶν καὶ μετεώρων» κεφάλαια λ'. Ἀρχ. «Πᾶν τὸ αἴτιον καὶ ἀρχή», σ. 89-115.

3. «Συμεὼν μαγίστρου τοῦ Σήθ σύνοψις τῶν φυσικῶν, μεταφρασθεῖσα ὑπ' ἐμοῦ, εἰς κοινὴν γλῶτταν, τοῦ ἐν ἐλαχίστοις σπουδαίου Μάρκου τοῦ Πορφυροπούλου, τοῦ ἐκ Κύπρου, καὶ νοταρίου τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, διὰ παρακλήσεως τινὸς

τῶν ἐμοὶ συνήθων». Ἀρχ. «Ὁ Πλούταρχος, ὦ μέγιστε καὶ θειότατε βασιλεῦ», σελ. 121-196.

4. «Πρόκλου σφαῖρα». Ἀρχ. «Ἄξων καλεῖται τοῦ κόσμου ἡ διάμετρος», σελ. 197-210.

5. «Τοῦ σοφωτάτου Κορυδαλλέως περὶ ἀστρολογίας». Ἀρχ. «Πλάττει ταῖς Μούσαις ὁ φυσικὸς μῦθος», σελ. 213-245.

6. «Ἀστραμψύχου ὀνειροκριτικόν». Ἀρχ. Λαλεῖν καθ' ὕπνους νητρεκὲς τοὔναρ τόδε» κτλ., σελ. 246-249. Ἐκδ. Rigaltii σ. 5.

7. «Περὶ εἰς ποῖον ζῴδιον ἀνεβαίνει καὶ κατεβαίνει ὁ ἥλιος τὸν κάθε μῆνα».Ἀρχ. «Ἀπὸ τὰς ιδ' τοῦ μαρτίου μηνὸς» κτλ., σ. 253-271.

8. «Περὶ θέσεως κόσμου, οὐρανοῦ τε καὶ γῆς καὶ ἀστέρων, καὶ τοῦ Ἀράτου τὰ φαινόμενα». Ἀρχ. «Ὁ οὐρανὸς σφαιροειδής ἐστι κύκλῳ» κτλ., σελ. 273-286.

316. Ἀκανόνιστα χάρτινα τετράδια, ὧν τὰ πλείω ἔγραψεν ὁ ἱεροκῆρυξ Γρηγόριος ἱερομόναχος μεταξὺ τῶν ἐτῶν 1629 καὶ 1641, ἕτερα δέ τινα πάλιν ἔγραψεν ἕτερος ἀνώνυμος ἱεροκῆρυξ μεταξὺ τῶν ἐτῶν 1664 καὶ 1666. Φύλλα 297, περιέχοντα ἐν ἑαυτοῖς διαφόρων ἱεροκηρύκων διδαχάς· τούτων δὲ ὁ πίναξ ἔστι κατεστρωμμένος ἐν τῇ ἀρχῇ τοῦ τεύχους, ὅπερ ἄρχεται ἀπό τινων «συλλογισμῶν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος»· μετὰ δὲ τούτους ὑπάρχει τις ἀνώνυμος πραγματεία «περὶ τῶν ἐντολῶν πασῶν, καὶ περὶ ἐξομολογήσεως πῶς πρέπει ὁ πνευματικὸς νὰ ἐξομολογῇ τοὺς ἀνθρώπους».

317. Τεῦχος χάρτινον τῆς ις' ἑκατ. ἐκ φύλλων 149, μήκ. 0,21, πλ. 0,155· ἦν δὲ τοῦτο πρότερον «Δοσιθέου πατριάρχου Ἱεροσολύμων». Πιθανῶς αὐτόγραφον Δαμασκηνοῦ τοῦ Στουδίτου. Φύλλα ἄγραφα· 17-34. Μετὰ τὸ 15-ον φύλλον ὑπάρχει ἔλλειμμα· κατὰ δὲ τὸν κατάλογον Ἀντωνίνου καὶ Ἰωαννίδου ὑπῆρχεν ἐν τῷ τόπῳ τούτῳ «Ἰσαὰκ μοναχοῦ τοῦ Ἀργυροῦ μέθοδος κατασκευῆς ἀστρολαβικοῦ ὀργάνου, ἔτι δὲ ἀπόδειξις λογικῆς τῶν ἐν αὐτῷ καταγραφομένων μεταφορικῶς, ἀπὸ τῶν ἐν τῇ σφαιρικῇ ἐπιφανείᾳ ὡς ἐπίπεδον: ἀρχή: Ἐπεὶ καθάπερ τινὰς ἀρχετύπους πίνακας». Ἔλλειμμα ὑπάρχει καὶ μετὰ τὸ 68-ον φύλλον.

1. «Ἀρχύτου τοῦ Μαξίμου κυκλικῆς θεωρίας μετεώρων τῶν εἰς τέσσαρα τὸ πρῶτον», εἶτα τὸ β', τὸ γ' καὶ τὸ δ'. Ἀρχ. «Μετιέναι δὴ τὰ περὶ τῆς σφαίρας βουλόμενοι» κτλ., φ. 1-15.

2. Προσθήκη τῆς ιζ' ἑκατ. «Περὶ πολλαπλασιασμοῦ μοιρῶν καὶ λεπτῶν καὶ δευτέρων πρὸς μοίρας καὶ λεπτά», φ. 16.

3. Ἀκέφαλον ἀστρονομικὸν πόνημα, οὗ αἱ πρῶται λέξεις ἔχουσιν ὧδε· « - - - ἐνίοτε δὲ δεύτερον, ὅταν δηλαδὴ ἁπλᾶ ἔτη οὐχ εὑρεθῶσιν, ὡς εἴρηται· καὶ μετὰ ταῦτα εἰσαγαγόντες τὴν ὑποκειμένην πόλιν εἰς τὸ κανόνιον τοῦ μήκους τε καὶ πλάτους τῶν ἐπισήμων πόλεων, κατὰ τὸ σελίδιον αὐτοῦ τὸ ἐπιγραφόμενον Πόλεις» κτλ., φ. 35 κἑ.

4. «Θέωνος ἐκ τοῦ εἰς τὸ πρῶτον τῆς μαθηματικῆς συντάξεως Πτολεμαίου περὶ μερισμοῦ». Ἀρχ. «Τὰ πρῶτα ἑξηκοστὰ περὶ μὲν μοίρας μεριζόμενα» κτλ., φ. 40-41α.

5. Δαμασκηνοῦ τοῦ Στουδίτου ἀνεπίγραφον συμπλήρωμα εἰς τὰ κανόνια Μιχαὴλ τοῦ Χρυσοκόκκη (φ. 41β-68), μετὰ προλόγου ἔχοντος οὕτως· «Ὁ ἐν ἐπισκόποις ἐλάχιστος Δαμασκηνὸς τοῖς ἐντευξομένοις χαίρειν. Ἐπειδὴ πρὸ ἡμῶν ὁ σοφώτατος Μιχαὴλ ὁ Χρυσοκόκκης πολλὴν εἰς τὴν τοῦ Ἰουδαϊκοῦ ἑξαπτερύγου ἑρμηνείαν φροντίδα κατεβάλετο καὶ ὡς ἐνῆν ἄριστα τὴν περὶ τούτου διδασκαλίαν ἡμῖν ἐσαφήνισεν, οὐ μὴν δὲ τὸν τῶν ἐννεακαιδεκαετηρίδων χρόνον παρηύξησεν ἐν τοῖς παρ' αὐτοῦ συντεθεῖσι κανονίοις, ὥστε διαρκεῖν εἰς μήκιστον — καὶ γὰρ μέχρι τῆς ͵ϛπδ-ης συνεγράψατο, ὡς ἐντεῦθεν μικροῦ δεῖν ἄχρηστον εἶναι τὴν τούτου μάθησιν εἰς τὸν ἐπιόντα χρόνον —, ἔδοξε κἀμοὶ παρεκτεῖναι τὰς ιθετηρίδας εἰς τὸ αὔταρκες, ὡς ἂν μὴ τελειωθέντων τῶν παρ' ἐκείνου συγγεγραμμένων ιθετηρίδων ἄχρηστος ἡ τοσαύτη καὶ τηλικαύτη τῆς μαθήσεως ὠφέλεια γένηται· ὅτι δὲ οὐ μικρὰν περὶ τούτων σπουδὴν ἀνεδεξάμην, ὥστε μὴ παρατραπῆναι τῆς εὐθείας, ἀλλ' ἐς τὸ ἀκριβὲς συνθεῖναι τάς τε ἡμέρας καὶ ὥρας καὶ τὰ τούτων λεπτά, ὡσαύτως καὶ τὰ ζῴδια καὶ τὰς μοίρας καὶ τὰ τούτων λεπτά, μαρτυρήσουσιν οἱ τῆς τοιαύτης ἐπιστήμης εἰδήμονες· οὐ γὰρ ἐκ τοῦ παραχρῆμα τοῖς σπουδαίοις ἡ περὶ τούτων θεωρία, ὡς ἴσα-

*

σιν οἱ μεμυημένοι, ἐγγίνεται. Ὅθεν ὑμεῖς αὐτοὶ τὸν τῆς οὐ μωμητῆς ἴσως σπουδῆς τε καὶ μελέτης πόνον ἀπόνως καρπούμενοι τῆς ἡμετέρας σωτηρίας ὑπερεύχεσθαι. ͵ζπβ^ω [= 1574] φευρ. ιε', «τῆς». Εἶτα τὰ κανόνια Δαμασκηνοῦ τοῦ Στουδίτου.

6. Λείψανον, ὡς φαίνεται, φυσιολόγου τινός, ἰδίᾳ δὲ περὶ τῆς ἀράχνης, φ. 69-75.

7. «Ἰωάννου γραμματικοῦ Ἀλεξανδρέως, τοῦ Φιλοπόνου, περὶ τῆς τοῦ ἀστρολάβου χρήσεως». Ἀρχ. «Τὴν ἐν τῷ ἀστρολάβῳ τῆς ἐπιφανείας τῆς σφαίρας ἐξάπλωσιν» κτλ., φ. 75^β.

8. «Ἑτέρα μέθοδος ἀνωνύμου περὶ τοῦ ἀστρολάβου». Ἀρχ. «Εἰ βούλει γινώσκειν τὴν τοῦ ἀστρολάβου μέθοδον» κτλ., φ. 86^β.

9. «Μάρκου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἐφέσου μέθοδος εἰς τοὺς κανόνας τοὺς προχείρους, οἷς ἡ ἐπιγραφὴ Κύκλοι». Ἀρχ. «Ἡ τῶν κανόνων τούτων σύστασις γέγονε μὲν παρά τινος τῶν ἐν Ἰταλίᾳ μαθηματικῶν, κατὰ τὸ χιλιοστὸν τριακοσιοστὸν ἑξηκοστὸν πρῶτον ἔτος» κτλ., φ. 90-115.

10. «Μέθοδος, δι' ἧς εὑρίσκονται αἱ καθ' ἑκάστην νύκτα ὑπὸ τῆς σελήνης φωτιζόμεναι τῆς νυκτὸς ὧραι». Ἀρχ. «Ἡ σελήνη γεννηθεῖσα αὔξει καθ' ἑκάστην» κτλ., φ. 116^α.

56. «Γράμμα κληρονομίας, περὶ συνεισφορᾶς προικιμαίων πραγμάτων», φ. 142.

57. «Γράμμα ἐκ μέρους μητροπολίτου εἰς τοὺς επαρχιώτας αὐτοῦ», φ. 143.

58. «Λόγος περὶ ἀδικίας». Ἀρχ. «Οὐδὲν οὕτως ὡς ἀδικίαν μεμίσηκεν ὁ Θεὸς» κτλ., φ. 144β

59. «Ὅτι οὐ δεῖ τὸν ἐπίσκοπον ἢ πρεσβύτερον κοσμικὰς φροντίδας ἀναλαμβάνειν ὅλως». Ἀρχ. «Ἐπὶ τῷ θεοκήρυκι Πέτρῳ», φ. 146.

60. «Περὶ τῶν ὑπὸ τοῦ ἀποστόλου Λουκᾶ ἱστορηθέντων θεομητορικῶν εἰκόνων». Ἀρχ. «Δὲν εἶναι ἀμφιβαλλόμενον», φ. 147β.

61. «Ὁμολογία τῆς Πατριαρχικῆς Αὐλῆς» 1771, φ. 148β.

62. «Ἑτέρα αὐλικὴ ὁμολογία» 1771, φ. 150β.

63. «Γράμμα ἀφοριστικὸν ῥουφετίου» (τῶν χαβιαρτζίδων), φ. 152β.

64. «Ἕτερον γράμμα (πρὸς τὸν μητροπολίτην Προύσης) περὶ κληρονομίας ἐγγόνων μετὰ τῶν ἑτεροθαλλῶν θείων αὐτῶν κατὰ κεφαλὴν καὶ πρόσωπον, ὅσοι εἰσὶ τῷ ἀριθμῷ» 1773, φ. 153β.

65. «Πίναξ τῶν ἐν τῷ παρόντι περιεχομένων», φ. 156-162.

339. Τεῦχος χάρτινον τῆς ις' ἑκατ. ἐκ φύλλων ἠριθμημένων ρξη' (μήκ. 0,21, πλ. 0,155), ὅπερ ἐγράφη, καθὰ φαίνεται, ὑπὸ Ἀλεξάνδρου τοῦ Ἱέρακος. Τὸ τεῦχος τοῦτο ἠρίθμει πρότερον τέσσαρα φύλλα περιπλέον, ὧν αἱ ἄκραι ἔτι καὶ νῦν εἰσι δῆλαι. — [Ἀλεξάνδρου Ἱέρακος] σημειώματα γραμματικά, θεολογικά, κανονικά, φιλολογικά, καὶ ἐκλογαί τινες ἐκ διαφόρων ἐκκλησιαστικῶν συγγραφέων· τούτων δὲ πάντων ὁ πίναξ εὑρίσκεται μεταξὺ τῶν φύλλων ρξβ' καὶ ρξε'. Σημειωτέα· α') «Ἑρμηνεία λέξεων ἐμφερομένων ἐν τῇ θείᾳ βίβλῳ Διονυσίου τοῦ Ἀρεοπαγίτου», φ. μη'. Σελὶς ὀπισθία. — β') «Ἔκφρασις εἰς εἰκόνα τοῦ ἁγίου προφήτου Ἠλιού· στίχοι τοῦ Φιλῆ». Ἀρχ. «Δέχου παρ' ἡμῖν τὸν προφήτην τὸν μέγαν», φ. ρβ'. Σελὶς ὀπισθία. Manuelis Philae carmina; ed. E. Miller, τ. I, σ. 46.—γ') «Τοῦ ἁγίου Μαξίμου πρὸς Ἰωάννην τὸν σοφιστήν». Ἀρχ. «Τὸ τίμιον τῆς ὑμετέρας» κτλ., φ. ρε'.—δ') Σημείωμα, οὗ ἡ ἀρχή· «Τῷ ζωςωςω [= 1588] μηνὶ ἰουνίω Ηῃ ἡμέρα Κυριακῇ τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ στρατηλάτου, ἐμαρτύρησε μοναχός τις, ὃς ἦν ἀπο

Καλαμάτας περιτετμημένος· ἀπῆλθε δὲ εἰς Βενετίαν» κέ., φ. ρμ'. Σελὶς ὀπισθία. Ὁ μοναχὸς οὗτος ὠνομάζετο Θεοφάνης. — ε') «Ἔπαινος εἰς τὸ λουτρόν». Ἀρχ. «Πολλῶν τὸ λουτρὸν αἴτιον δωρημάτων· χυμοὺς κατασπᾷ, φλέγματος λύει πάχος, χολῆς περιττὸν ἐκκενοῖ τῶν ἐγκάτων» κέ., φ. ρξζ'. Πρβλ. Βυζαντινὰ Χρονικά, τ. I, σ. 137.—ς') Ἐπιστολή, ἧς ἐλλείπει τὸ πέρας. «Ἰωάννης Σαμόσκως, νομοφύλαξ καὶ στρατηγὸς τῆς Λεχείας, τῷ Ἱερεμίᾳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως εὖ πράττειν. Ὥσπερ διὰ τῶν σῶν γραμμάτων ἐμὲ παρεκάλεσας» κέ., φ. ρξη'. Σελὶς ὀπισθία.

340. Δύο χάρτινα τεύχη συνερραμμένα ἀτάκτως, μήκους 0,24, πλ. 0,178. — α') «Ἡμετέρα λογικὴ ἐλάσσων καὶ μείζων, περιπατητικὴ καὶ σχολαστική, παρὰ τοῦ λογιωτάτου καὶ σοφωτάτου - - Βικεντίου τοῦ Δαμωδοῦ, ἐν φιλοσοφίᾳ καὶ ἱερᾷ θεολογίᾳ καὶ ἐν ἀμφοτέροις τοῖς νόμοις δαφνοφόρου· ἐν ἔτει σωτηρίῳ ͵αψπδῳ [= 1784] κατὰ μῆναν ἰούνιον». Ἀρχ. «Προοίμιον τῆς λογικῆς. Κεφάλαιον Α^{ον}. Τί ἐστι φιλοσοφία καὶ διαίρεσις αὐτῆς. Πρῶτον μέρος τῆς φιλοσοφίας ἐστὶν ἡ λογική» κτλ. — β') «Φυσιολογία αἰτιολογικὴ εἰς τὴν κοινὴν διάλεκτον, ἀριστοτελική, σχολαστικὴ καὶ νεωτερική· ἐν ᾗ περὶ τῶν φυσικῶν σωμάτων ἐστὶν ὁ λόγος· συντεθεῖσα παρὰ τοῦ λογιωτάτου καὶ σοφωτάτου ἐν φιλοσοφίᾳ καὶ ἱερᾷ θεολογίᾳ καὶ ἐν ἀμφοτέροις τοῖς νόμοις δαφνοφόρου Βικεντίου Δαμωδοῦ, ἐκ πατρίδος Κεφαλληνίας· ͵αψλη' κατὰ μῆνα νοέμβριον». Τόμοι δύο· τοῦ β' τόμου ἐσώθη ἡ ἐπιγραφή. Ἐγράφη ὑπὸ Σταυράκη υἱοῦ Γρηγορίου ἔτει 1787-ῳ.

341. Χάρτινα τετράδια ἐκκλησιαστικῆς μουσικῆς τῆς ιη' ἑκατ. Σημειωτέα· α') «Εἱρμοὶ ἔντεχνοί τε καὶ γλυκύτατοι· ποίημα κὺρ Πέτρου τοῦ μελῳδοῦ».—β') «Ἐξήγησις τινῶν θέσεων ἐκ τοῦ στιχηραρίου τοῦ Ἰακώβου πρωτοψάλτου».

342. Δύο χάρτινα βιβλιάρια μήκ. 0,21, πλ. 0,15. — α') Φύλλα 20 γραφέντα περὶ τὸ τέλος τῆς ιη' ἑκατ. «Προφητεία τοῦ μακαρίτου Ἀγαθαγγέλου ἱερομονάχου» κτλ.—β') Φύλλα 30 ἔτους 1850-οῦ. Παραφράσεις ἀρχαίων τινῶν ἑλληνικῶν κειμένων καὶ εἰσαγωγὴ εἰς τὸ περὶ τοῦ ἀκούειν ὑπόμνημα τοῦ Πλουτάρχου.

343. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατονταετηρίδος (0,21 × 0,153) ἐκ φύλλων 5 καὶ σελίδων ἠριθμημένων 794. Ἐν τοῖς ἀσελιδώτοις 5 φύλλοις ὑπάρχουσί τινα τοῦ Χρυσάνθου σημειώματα καὶ πίναξ τῶν κεφαλαίων, ἐξ ὧν σύγκειται τὸ ἐν τῷ αὐτῷ τεύχει περιεχόμενον βιβλίον.—Ἐπιγραφή· «Ἐκ τῶν τοῦ Χρυσάνθου ἀρχιμανδρίτου Ἱεροσολυμίτου:- Σύνοψις τῆς ἱερᾶς θεολογίας, φιλοπονηθεῖσα εἰς ὠφέλειαν τῶν ὀρθοδόξων φιλομαθῶν παρὰ Νικολαου Κούρσουλα τοῦ Ζακυνθίου, διδασκάλου, φιλοσόφου καὶ θεολόγου». Ἀρχ. «Θεολογία μὲν κατὰ τὴν τοῦ ὀνόματος ἐτυμολογίαν» κτλ. Μετὰ τὸ πέρας τοῦ κειμένου· «Ἐν ὅλοις ἑπτὰ μησὶ ἐδιδάχθην τὴν παροῦσαν θεολογίαν διὰ φωνῆς τοῦ ἐμοῦ διδασκάλου, τοῦ σοφωτάτου φημὶ κυρίου Νικολάου Κομνηνοῦ (1698 ὀκτωβρίου 22, ἐν Παταβίῳ), ἐν ᾗ πλεῖστα μὲν ἀληθῆ τε καὶ εὐφυῆ, ἀλλ' οὖν κατέσπαρται καὶ τινὰ τοῖς Λατίνοις μᾶλλον σύμφωνα ἢ τῇ ἀληθείᾳ. Χρύσανθος».

344. Κατάστιχον ἐκ φύλλων χάρτου 65 (μήκ. 0,22, πλ. 0,16), ἐν ᾧ περιέχονται σημειώσεις ταξειδίων (1818-1826), πρὸς συλλογὴν βοηθημάτων ὑπὲρ τοῦ Ἁγίου Τάφου.

345. Τεῦχος χάρτινον χρυσόδετον ἐκ φύλλων στιλπνῶν 144, μήκ. 0,209, πλ. 0,135. Ἐγράφη ἔτει 1701-ῳ. Τὰ δύο πρῶτα καὶ τὰ τελευταῖα τέσσαρα φύλλα ἄγραφα. Ἐπιγραφαὶ ἐρυθραὶ καὶ κεφαλαιώδη στοιχεῖα κεχρωματισμένα καὶ περιπεποικιλμένα. Ἐν τῇ ὤᾳ τοῦ 4-ου φύλλου ὑπάρχει τύπος μικρᾶς σφραγῖδος ἔχων οὕτω· «ΚΤ ΓΡ 1730». Ἐν τῷ 139-ῳ φύλλῳ ἡ τοῦ καλλιγράφου ὑπογραφή· «Ἰάκωβος ἱερομόναχος:- ἐν ἔτει σωτηρίῳ ͵αψα' ἀπριλλίω κγ'». Καὶ ἐν τῇ ὀπισθίᾳ σελίδι τοῦ 140-οῦ φύλλου· «Ἡ παροῦσα αὕτη θεία καὶ ἱερὰ δέλτος, τετελείωται μὲν συνδρομῇ δαπάνῃ τε καὶ ἐξόδῳ τοῦ θεοφιλεστάτου καὶ λογιωτάτου ἐπισκόπου τῆς θεοσώστου ἐπισκοπῆς Χερρονήσου τῆς ἐν Κρήτῃ, κυ κυ Νηκηφόρου. Βερνίκη. σπουδῇ δὲ καὶ ἐπιμελείᾳ τοῦ αἰδεσιμωτάτου ἐν ἱερομοναχοις κυ κυ Ἰακώβου Ἰβηρίτου, τοῦ ἐκ νήσου Ἀστοπαλίας».— α') Πίναξ, ἐν ᾧ ἐστιν εἰκονισμένος Ἰωάννης ὁ Χρυσόστομος, ἱστάμενος καὶ τὴν ἱερὰν ἀναγινώσκων ἐξ εἰλητοῦ λειτουργίαν, φ. 3β.—

β') Κόσμημα τετράπλευρον καὶ ἡ ἱερὰ λειτουργία τοῦ Χρυσοστόμου, φ. 4.—γ') Πίναξ ἀπεικάζων τὸν μέγαν Βασίλειον, φ. 42β.—δ') Κόσμημα τετράπλευρον καὶ ἡ ἱερὰ λειτουργία τοῦ Βασιλείου, φ. 43.—ε') Πίναξ ἀπεικάζων τὸν ἅγιον Γρηγόριον τὸν Διάλογον, φ. 92β.— ς') Κόσμημα τετράπλευρον καὶ ἡ ἀρχὴ τῆς λειτουργίας τῶν Προηγιασμένων, φ. 93.—ζ') Τάξις ἐπὶ χειροτονίᾳ ἀναγνώστου, ὑποδιακόνου, διακόνου, πρεσβυτέρου καὶ ἐπισκόπου, φ. 113β-136.—η') «Εὐχὴ λεγομένη ἐπὶ τοῦ μέλλοντος μεταλαβεῖν τὰ θεῖα μυστήρια», φ. 137.— θ') «Εὐχὴ εἰς τὸ εὐλογῆσαι τυρὸν καὶ ᾠά», φ. 139.

346. Χρυσόδετον χάρτινον τεῦχος τῆς ιζ' ἑκατ. ἐξ 137 (α'-ρλζ') φύλλων ἠριθμημένων καὶ τριῶν ἑτέρων, ἐν οἷς περιέχεται πρῶτον μὲν ὁλοσέλιδος εἰκὼν σταυροῦ, εἶτα δὲ πίναξ λεπτομερὴς τῶν ἐν αὐτῷ τούτῳ τῷ τεύχει πραγμάτων· ἔστι δὲ τοῦτο μήκους 0,205, πλάτους 0,15. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 21 (0,16×0,10), ἀνορθόγραφον μέν, ἀλλὰ γεγραμμένον εἰς κάλλος, περικεκοσμημένον τε πολλοῖς μεγάλοις κεχρωματισμένοις κεφαλαιώδεσι γράμμαμασιν, ἰδίοις τισὶ πάλιν κοσμήμασι, καὶ δυσὶν εἰκόσιν ὁλοσελίδοις, ὧν ἡ μὲν ἀπεικάζει τὸν ἅγιον Ἰωάννην τὸν Χρυσόστομον, ἐπ' ἄμβωνος ἔνδον ἐκκλησίας ἀγορεύοντα, ἡ δὲ τὸν ἅγιον Γρηγόριον τὸν Θεολόγον. — 1) «Διάταξις τῆς θείας καὶ ἱερᾶς λειτουργίας παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Φιλοθέου». Ἀρχ. «Μέλλων ὁ ἱερεὺς τὴν θείαν ἐπιτελεῖν μυσταγωγίαν» κτλ., φ. α'.—2) Λειτουργία τοῦ Χρυσοστόμου, φ. η'. — 3) Λειτουργία τοῦ μεγάλου Βασιλείου, φ. κζ'. — 4) Λειτουργία τῶν Προηγιασμένων, φ. μη'.—5) «Ἑρμηνεία τῆς θείας λειτουργίας τῶν Προηγιασμένων», φ. νς'. — 6) Εὐαγγέλια Σαββατοκυριακά, φ. νθ'.

347. Τεῦχος χάρτινον τῆς ιζ' καὶ τῆς ιη' ἑκατ. ἐκ σελίδων ἠριθμημένων 262 καὶ 7 φύλλων ἀσελιδώτων, ὧν τὸ μὲν πρῶτον περιέχει ἐν ἑαυτῷ σημειώματά τινα καὶ τὸ ἑξῆς ὑπόμνημα· «Καὶ τόδε σὺν τοῖς ἄλλοις ὑπάρχει τοῦ λογιωτάτου Μάρκου τοῦ Κυπρίου

Πορφυροπούλου, καὶ ὀστιαρίου τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας». Ἐν δὲ τοῖς λοιποῖς ἓξ φύλλοις ἐμπεριέχεται πίναξ ἀναγραπτικὸς τῶν ἐν ταῖς σελίσιν ὑποθέσεων· αὗται δὲ ἀποτελοῦσιν αὐτοῦ τοῦ Πορφυροπούλου Κοσμᾶ συλλογήν τινα ἀποσπασμάτων ἐκ συγγραφέων ἐκκλησιαστικῶν τε καὶ μὴ ἐκκλησιαστικῶν, ἅπερ ὁ Κοσμᾶς ὠνόμασε Περιγράψεις· οἷον ἐν τῇ 1-ῃ σελίδι· «Παραδείσου περίγραψις», ἧς ἡ ἀρχή· «Ὅσοις μὲν οὖν ἐν τῷ ζῆν δαίμων ἀγαθὸς ἐπέπνευσεν» κτλ. Τελευταία περίγραψίς ἐστιν (ἐν σελ. 193) ἡ «εἰς πόρνον καὶ πᾶσαν κακίαν αἴτιον», ἔκ τινος πονήματος Ἰωάννου τοῦ Χρυσοστόμου ἀποσπασθεῖσα. Ταύτῃ δ' ἕπονται ἕτερά τινα κείμενα· οἷον ἐν τῇ 194-ῃ σελίδι «πρᾶξις ἀρχιερέως χειροτονηθέντος ἐπαρχίας δίχα», συντεθεῖσα ἔτει 1703-ῳ· ἧς ἡ ἀρχή· «Ἀναγκαῖον ὑπέρ τι ἄλλο τῷ χριστωνύμῳ πληρώματι» κτλ. Ἐν τῇ 209-ῃ σελίδι περιέχεται ἀναγραφὴ τῶν τίτλων τοῦ αὐτοκράτορος πασῶν τῶν Ῥωσιῶν. Εἶτα φρασεολόγιον ἑλληνικόν.

348. Τεῦχος χάρτινον τῆς ις' καὶ τῆς ιζ' ἑκατ. ἐκ φύλλων 105, μήκους 0,205, πλ. 0,14. Τὸ κείμενον μονόστηλον. Φύλλα ἄγραφα· 45β-46β, 53β-54β, 55, 102-105.

1. Μανουὴλ τοῦ μεγάλου ῥήτορος ἀκέφαλος πραγματεία. Ἀρχ. « - - καὶ ἡ τελειότης δοκεῖ συνίστασθαι, ἐπειδὴ ὁ ἀριθμὸς οὗτος τελείου στερεοῦ λόγον ἔσχηκεν· ἐν γὰρ τῇ μονάδι ὥσπερ σημεῖον λογίζεται» κτλ., φ. 1-5.

2. «Τοῦ αὐτοῦ κυροῦ Μανουὴλ τοῦ μεγάλου ῥήτορος εἰς δύο συλλογισμοὺς λατινικούς, ἀποδεικνύντας καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα, ἀνασκευαστικὸς μὲν αὐτῶν, κατασκευαστικὸς δὲ ὅτι ἐκ μόνου τοῦ πατρός· ἐρρήθη δὲ πρὸς κῦρ Γεράσιμον τὸν ἐνεγκόντα αὐτούς». Ἀρχ. «Πάλιν, αἰδεσιμώτατε πάτερ, πρὸς λογικὸν ἡμᾶς τοὺς εὐτελεῖς διεγείρων» κτλ., φ. 6.

3. «Τοῦ αὐτοῦ λογιωτάτου κυροῦ Μανουὴλ τοῦ ῥήτορος τῆς Μεγάλης Ἐκκλησίας κατὰ τοῦ Πληθωνικοῦ συγγράμματος, οὗ ἡ ἀρχή· Τὸ ὑπὲρ Λατίνων βιβλίον τὸ ἐς ἡμᾶς ἧκον». Ἀρχ. «Μηδέπω κρίνειν ἄνδρας ἀδαήμονας» κτλ., φ. 11.

4. «Τοῦ αὐτοῦ κυροῦ Μανουὴλ τοῦ μεγάλου ῥήτορος λόγος

περὶ Μάρκου τοῦ ἁγιωτάτου μητροπολίτου Ἐφέσου καὶ τῆς ἐν Φλωρεντίᾳ συνόδου, καὶ κατὰ Γεμιστοῦ καὶ Βησσαρίωνος, καὶ ἀνατροπὴ τῶν δυσσεβῶν συγγραμμάτων αὐτῶν». Ἀρχ. «Ἐπειδὴ μετά γε τῶν ἄλλων» κτλ., φ. 14. Μετὰ ρωσικῆς ἑρμηνείας И. Е. Троицкій ἐν ταῖς Христіанское чтеніе 1886, σ. 102-162.

5. «Μαξίμου τοῦ Κρητός, ταπεινοῦ ἐπισκόπου Κυθήρων, ἕτερα βιβλία δύο πρὸς τοῖς τρισὶ περὶ τῆς τοῦ παναγίου πνεύματος ἐκπορεύσεως», μετ' ἐπιστολῆς «τῷ θεοσεβεστάτῳ καὶ ἐκλαμπροτάτῳ Ἰωάννῃ Πέτρῳ βοηβόδᾳ πάσης Οὐγκροβλαχίας», ἧς ἡ ἀρχή· «Τὸ τῆς θεολογίας μέγα μυστήριον» κτλ., φ. 27. Ἐγράφη δὲ αὕτη «ἐκ τῆς σεβασμίας μονῆς τῆς Χρυσοπηγῆς τοῦ Γαλατᾶ τῆς Κωνσταντινουπόλεως, θαργηλιῶνος πέμπτῃ ἐπὶ δέκα, ἔτει ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας ͵αφπδ^{ῳ}». Εἶτα (φ. 28^{α}) πίναξ τῶν η' κεφαλαίων τοῦ α' βιβλίου, τὸ προοίμιον (φ. 28^{β}), τὸ κείμενον τοῦ α' βιβλίου καὶ πάλιν ὕστερον τὸ β' βιβλίον (φ. 47-52) ἐκ δ' κεφαλαίων, ὅπερ «Συνετέθη ἐν τῷ Γαλατᾷ τῆς Κωνσταντινουπόλεως κατὰ τὸ ͵αφπδ' [= 1584] ἔτος ἀπὸ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐνσάρκου οἰκονομίας, θαργηλιῶνος δὲ πέμπτῃ ἐπὶ δέκα τετέλεσται. Μάξιμος. Εἴτι τυχὸν ἐν τούτοις παρὰ τὴν κοινὴν τῆς ὀρθοδόξου πίστεως εἴρηται, ἀπαλειφθήτω».

6. (Προσθήκη μεταγενεστέρα). «כהוה. Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου Παναγιώτου τοῦ Βυζαντίου». Ἀρχ. «Ἀλλ' ἀπορήσειεν ἄν τις λέγων τοῦ τετραγράμματος τούτου ὀνόματος» κτλ., φ. 53^{α}. «Ταῦτα ἔγραψεν ὁ ἄνωθεν, ὅταν μετὰ τοῦ βεζηραζὲμ ἦλθεν εἰς Κρήτην, ὡς φαίνεται εἰς τὸ τέλος τοῦ ε' φύλλου τοῦ βιβλίου τούτου. Ὁ πρῶτος πόλεμος ὁποῦ ἐδόθη εἰς τὸ κάστρον τῆς Κρήτης ἦτον μαΐου ιε', ͵αχξζ'».

7. (Προσθήκη ἑτέρα τῆς ιζ' ἑκατ.). «Τοῦ μεγάλου οἰκονόμου [= τοῦ κατόπι Μηδείας ἐπισκόπου Θεοφάνους] πρὸς τοὺς νομίζοντας, ἐὰν φύγωσιν, ὅθεν οἱ λοιμώδεις ἀέρες καταπνέουσι, διασῴζονται· ἐμμένοντες δὲ ἐκεῖσε καὶ σπῶντες αὐτοὺς τὸν θάνατον ἐπισπῶνται· λόγος ἀποδεικνύων κακῶς φρονοῦντας αὐτοὺς καὶ εἰς Θεὸν ἐξαμαρτάνοντας· συντέτακται δὲ ἐν σχήματι διαλόγου, κατὰ

πεῦσιν καὶ ἀπόκρισιν, μύστου τινὸς διαποροῦντος καὶ πυνθανομένου καὶ μυσταγωγοῦ ἀποκρινομένου καὶ λύοντος. Προλέγει ὁ μύστης. Μύστης. "Ὥσπερ ἄλλοτε πολλάκις» κτλ., φ. 56α-94α. Ἕτερον ἀντίγραφον ὅρα ἐν τῇ ἡμετέρᾳ Μαυρογορδ. βιβλιοθήκῃ, τ. I, σ. 135.

8. (Ὡσαύτως). «Ἐκ τῆς βίβλου τοῦ ἁγιωτάτου πατριάρχου Θεουπόλεως Μεγάλης Ἀντιοχείας Ἀναστασίου τοῦ Σιναΐτου ἐρωτήσεις τινὲς παρά τινων ὀρθοδόξων, καὶ ἀποκρίσεις αὐτοῦ πρὸς αὐτούς», φ. 94β-100. — Φύλ. 101 «Προθεωρία:—Οἱ παρόντες λόγοι φέρονται μὲν ἐπὶ τοὺς σκαιῷ φρονήματι τὴν παντέφορον καὶ πάνταρχον τοῦ Θεοῦ πρόνοιαν διοικεῖν καὶ κυβερνᾶν τὰ καθ' ἡμᾶς ἅπαντα» κτλ. Μετὰ τὸ 101 ον φύλλον ὑπάρχει ἔλλειμμα.

349. Τεῦχος χάρτινον (μήκ. 0,207, πλ. 0,155) ἐκ φύλλων ἠριθμημένων 488. Ἐγράφη περὶ τὴν ἀρχὴν τῆς ιη' ἑκατ. Τὸ κείμενον μονόστηλον.—Μελετίου τοῦ Συρίγου λόγοι καὶ διδαχαί, ὧν ἡ πρώτη ἐπιγέγραπται οὕτως· «͵Αχξγ' νοεμβρίῳ β' εἰς τὸ Κοντοσκάλιον λόγος Μελετίου Συρίγου, ἱερομονάχου καὶ διδασκάλου τῆς Μεγάλης Ἐκκλησίας, περὶ θλίψεων». Ἀρχ. «Προτίθεται ὡς ἕνας φιλότιμος βασιλεὺς» κτλ., φ. α'. Εἶτα «περὶ ἐξομολογήσεως σημειώσεις», φ. η'. Εἶτα «1662 εἰς τὸ Κοντοσκάλι σεπτ. κζ'. Λόγος Μελετίου Συρίγου - - - περὶ μετανοίας», οὗ ἡ ἀρχή· «Εὑρίσκεται χαμίαν φορὰν» κτλ., φ. ι'. Κατόπιν ἕτεροι πολλοὶ λόγοι, ὧν εἷς «εἰς τὴν ἐξήγησιν τῆς θείας λειτουργίας» (φ. 420).

350. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατονταετηρίδος ἐκ φύλλων ἠριθμημένων 455, ὧν οὐκ ὀλίγα ἐλλείπουσιν ἀφαιρεθέντα, τουτέστι τὰ φύλλα ταῦτα· 22, 101-116, 123-134, 141-146, 173-206, 225-242, 249, 250, 346-351, 378-380, 415-421, 427, 428.—Ἀνώνυμοι διδαχαί, ὧν ἡ πρώτη εἰς τὸ ζ' κεφάλαιον τοῦ κατὰ Λουκᾶν εὐαγγελίου. Ἀρχ. «Ζητοῦσι κάποιοι ἀπὸ τοὺς θεολόγους» κτλ. Ἐσχάτη διδαχὴ ἡ εἰς τὸ Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Ἀρχ. «Ἐπειδὴ καὶ ὁ Χριστός μας ὁ κύριος καὶ καθολικὸς λυτρωτὴς» κτλ.

351. Τεῦχος χάρτινον τῆς τετάρτης καὶ δεκάτης ἑκατοντ.

ἐκ φύλλων ἠριθμημένων 232 καὶ ἑνὸς ἑτέρου ἀσελιδώτου (φ. 8bis)· μήκ. 0,21, πλ. 0,142 —Μανουὴλ τοῦ Φιλῆ ποιήματα καὶ ἐπιγράμματα, ὧν τὸ πρώτιστον ἀνεπίγραφον ὂν ἄρχεται ὧδε· «Ὁ πύρινος νοῦς τὸν θεάνθρωπον λόγον» κτλ., φ. 1. Ἔσχατον, ἀτελὲς ὅμως, ποίημα, τὸ «Τῷ ὑπερφυεῖ πρωτοστράτορι τῷ Γλαβᾷ», οὗ ἡ ἀρχή· «Ἂν ἦν δυνατὸν καὶ ψυχῆς δίχα πνέειν», φ. 231. Manuelis Philae carmina ed. Miller, τ. I, σ. 91. Ἐν τῷ κώδικι τούτῳ περιέχονται καὶ τύποις ἀνέκδοτα ποιήματα τοῦ Φιλῆ· οἷον α΄) «Θεοδώρῳ τῷ χαρτουλλαρίῳ ὑπισχνουμένῳ οἶνον δώσειν αὐτῷ». Ἀρχ. «Ἡ πέμπε μοι τὸν οἶνον, ὡς ὑπεσχέθης» κτλ., φ. 77. β΄) «Τῷ Κουβαρᾷ κύρι Θεοδώρῳ». Ἀρχ. «Δριμὺς ὁ χειμών, ἀλλὰ σὺ γλυκὺς φίλος», φ. 81β.

352. Τεῦχος χάρτινον τῆς ιζ΄ ἑκατοντ. ἐκ φύλλων 187, μήκ. 0,21, πλ. 0,16. Ἐν τῷ 1-ῳ φύλλῳ διὰ χειρὸς τοῦ πατριάρχου Χρυσάνθου γέγραπται ὁ πίναξ τῶν ἐν αὐτῷ τούτῳ τῷ τεύχει περιεχομένων ὑπομνημάτων. Ἐν τῇ ᾤᾳ τῆς προσθίας σελίδος τοῦ 2-ου φύλλου· «Ἐκ τῶν τοῦ Χρυσάνθου, πρεσβυτέρου Ἱεροσολυμίτου». Φύλλα ἄγραφα· 9, 68, 69, 83—85, 107, 108, 109, 177.

1. «Παύλου τινὸς ἐπισκόπου τῆς Λατίνων Ἐκκλησίας ἐπιστολή, ζητήματά τινα δογματικὰ ἔχουσα πρὸς τὸν βασιλέα κύριον Ἰωάννην τὸν Καντακουζηνόν, τὸν διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντα Ἰωάσαφ». Ἀρχ. «Ὑψηλότατε καὶ σοφώτατε βασιλεῦ», φ. 2α. Ἕτερον ἀντίγραφον ὅρα ἐν τῇ ἡμετέρᾳ Μαυρογορδ. βιβλιοθήκῃ, τ. I, σ. 135.

2. «Ἐπιστολὴ ἐν ἐπιτόμῳ δηλοῦσα τίνα δόξαν ἔχει ἡ καθ' ἡμᾶς Ἐκκλησία περὶ τῶν παρὰ τοῦ Παύλου προσενηνεγμένων ζητήσεων, συγγραφεῖσα παρὰ Θεοφάνους ἐπισκόπου Νικαίας ὡς ἐκ προσώπου τοῦ βασιλέως». Ἀρχ. «Τοῖς πρὸ μικροῦ μοι σταλεῖσι» κτλ., φ. 2β. Μαυρογορδ. βιβλιοθήκη, τ. I, σ. 135.

3. «Θεοφάνους μητροπολίτου Νικαίας ἐπιστολὴ διδασκαλικὴ πρὸς τοὺς ἱερεῖς καὶ λοιποὺς κληρικοὺς τῆς κατ' αὐτὸν ἁγίας ἐκκλησίας, δεικνύουσα τί ἐστι τὸ τῆς ἱερωσύνης χρῆμα, καὶ ὁποῖον

δεῖ εἶναι τὸν ταύτης ἠξιωμένον». Ἀρχ. «Θεοφάνης ἐλάχιστος» κτλ., φ. 10. Migne τ. 150, σ. 320.

4. Τοῦ αὐτοῦ «λόγος πρῶτος ἀποκρινόμενος πρὸς ἐρώτησίν τινα κακούργως καὶ περιέργως προβεβλημένην παρά τινος κατὰ τοῦ ἐν τῷ Θαβωρίῳ τοῖς ἀποστόλοις ὀφθέντος θειοτάτου φωτός, ἐπιλύων δὲ καί τινας ἀναγκαίας ζητήσεις· ἐν ᾧ καὶ περὶ θείας οὐσίας καὶ κοινωνίας». Ἀρχ. «Καὶ παντὸς μὲν ὁτουοῦν ζητήματος εὕρεσις» κτλ., φ. 22. Μαυρογορδ. βιβλιοθήκη Ι, σ. 135.

5. Τοῦ αὐτοῦ «ἀπόδειξις δι' ἐπιβολῶν τινων ἀναγκαίων νομιζομένων, ὅτι δυνατὸν ἦν τὸν ἐξ ἀϊδίου γεγενῆσθαι τὰ ὄντα, καὶ ἀνατροπὴ ταύτης καὶ ἔλεγχος τῆς ἀπάτης τῆς δοκούσης ἐκ τῶν ἐπιχειρημάτων ἀνάγκης». Ἀρχ. «Δόξειεν ἂν τισιν ἴσως» κτλ , φ. 38.

6. «Ματθαίου τοῦ Κανταχουζηνοῦ γένος, βίος καὶ ἤθη». Ἀρχ. «Ματθαῖος ὁ Κανταχουζηνὸς ἐπροῆλθεν» κτλ., φ. 62. Ὅρα καὶ φ. 67α· «Ὁ τοῦ ἀοιδίμου καὶ σοφωτάτου Ματθαίου τοῦ Κανταχουζηνου βίος, γένος τε καὶ ἤθη, μετηνέχθη ἐκ τῆς Λατίνων φωνῆς εἰς τὴν κοινὴν τῶν Ἑλλήνων διάλεκτον παρά τινος Ἀργυροῦ τοὔνομα, Ἀθήνηθεν δὲ τὸ γένος, ἐπιμελείᾳ δὲ τοῦ ἐνδοξοτάτου καὶ σοφωτάτου κυρίου Κωνσταντίνου τοῦ Κανταχουζηνοῦ».

7. Παραίνεσις πρὸς βασιλέα, ἥτις ἀποτελεῖ τὸ 2-ον κεφάλαιον ἀνεπιγράφου τινὸς ὑπομνήματος. Ἀρχ. «Ἀπὸ τὸ πλευρὸν τοῦ βασιλέως νὰ μὴν μακραίνῃ ποτὲ ἡ δικαιοσύνη» κτλ., φ. 70.

8. «Ἐρωταποκρίσεις ἀναγκαίας ἑκάστῳ εὐσεβεῖ ἑρμηνευθείσας παρὰ τοῦ σοφωτάτου καὶ ἐξοχωτάτου ἐν διδασκάλοις μεγάλου λογοθέτου τῆς Μεγάλης Ἐκκλησίας κυρίου κυρίου Ἰωάννου Καρυοφύλλου, διατρίβοντος ἐν Βουκουρεστίῳ», φ. 86-106.

9. «Ζητήματα ἀναγκαιότατα καὶ λύσεις τοῦ αὐτοῦ σοφωτάτου καὶ θεολογικωτάτου μεγάλου λογοθέτου κυρίου κυρίου Ἰωάννου Καρυοφύλλου». Ἀρχ. «Τὰ λεγόμενα πρόσωπον καὶ ἀπόστασις», φ. 110.

10 [Νικολάου Κούρσουλα] «Σύνοψις τῆς ἱερᾶς θεολογίας· διάλεξις α'». Ἀρχ. «Θεολογία μὲν κατὰ τὴν τοῦ ὀνόματος ἐτυμολογίαν» κτλ., φ. 158.

11. «Περὶ τῶν θεοπρεπῶν ὀνομάτων· τοῦ σοφωτάτου Κορυ-

δαλλέως, εἰ ἐστὶν ἔλεος ἐπὶ Θεοῦ, εἰ οὔ». Ἀρχ. «Πρῶτον ἀμφιβάλλουσιν, εἰ ὁπωσοῦν ἔλεος ἐστὶν» κτλ., φ. 166.

12. «Τοῦ Βλεμμίδου κυροῦ Νικηφόρου προοίμιον». Ἀρχ. «Ψαλτήριον κυρίως ὀργάνου εἶδός ἐστι» κτλ., φ. 178.—Τοῦ αὐτοῦ ἑρμηνεία εἰς τὸν α' ψαλμόν, φ. 186.

353. Τεῦχος χάρτινον τῆς ις' ἑκατ., σφόδρα βεβλαμμένον ὑφ' ὕδατος καὶ παραλελυμένον, ἐκ φύλλων 684. Ἐν τῷ 1-ῳ φύλλῳ· «Λεόντιος ἱερομόναχος». Εἶτα· «+ ,αφπ' [=1580] ἐν μιν(ὶ) νοευριω ἦλθεν ὁ τζαούσης ὁποῦ εὔγαλεν τὸν εὐσεβέστατον ἀφέ(ν)την Ἰω. Πέτρον βοϊβόδαν ἀπὸ τὸ Γιάσιον». Ἐν τῷ 3-ῳ φύλλῳ· «Τοῦτο τὸ βιβλίον τοῦ Ἁγίου Σάβα συν-Ἀρχαγγέλων Μιχαὴλ καὶ Γαβριὴλ τῆς Ἱερουσαλὴμ» κτλ. — Φύλλ. 3 κέ. «Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ Ἑορτολογίου», τουτέστιν Ἀνθολόγιον τῶν Μηναίων, τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου.

354. Χρυσόδετον χάρτινον τεῦχος ἐκ φύλλων 266 (μήκ. 0,20, πλ. 0,15), ὅπερ ἐγράφη περὶ τὴν ἀρχὴν τῆς ιζ' ἑκατ. Φύλλα ἄγραφα· 110-154, 156, 203, 250, 251, 258, 259. Σημειώσεις τῆς ιζ' ἑκατ. α') «Δημητρίου πρωτοκανονάρχου τῆς Μεγάλης Ἐκκλησίας», φ. 14^{α}. β') «Διονυσίου καὶ τόδε σὺν ἄλλοις», φ. 157. γ') «Δημητρίου νῦν καὶ οὐδέποτε τινός». Ἑτέρα σημείωσις ἐν τῇ ἐσχάτῃ σελίδι (φ. 266^{β}). «+Ἐκοιμήθη ἡ ἀείμνησθος [sic] ἐν μακαρίᾳ τῇ λείξει Ἀθανασία μοναχή, ἡ ἐν Χριστῷ καὶ ἁγίῳ πνεύματι μήτηρ μου, ἐν ἔτει σωτηρίῳ ,αχμζ' [=1647] μηνὶ φευρουαρίω ιζη, τοῦ ἁγίου μεγαλομάρτυρος καὶ θαυματουργοῦ Θεοδώρου τοῦ Τήρωνος, ἡμέρα Τετράδι· ὥρα ἦν τῆς νυκτὸς ὡσεὶ γη καὶ αἰωνία αὐτῆς ἡ μνήμη».

1. Λογικῆς καὶ οὐρανογραφίας σχήματα, φ. 1-13.

2. «Νικηφόρου μοναστοῦ καὶ πρεσβυτέρου τοῦ Βλεμμύδους εἰσαγωγικὴ ἐπιτομή». Ἀρχ. «Ἐπειδή περ ἡ λογικὴ ἐπιστήμη» κτλ., φ. 14.

3. «Πίναξ σὺν Θεῷ τῶν φιλοσόφων τοῦ μακαριωτάτου Ἰωάννου μοναχοῦ καὶ πρεσβυτέρου τοῦ Δαμασκηνοῦ», φ. 155. Εἶτα τὸ κείμενον, φ. 157 κέ.

4. Τοῦ αὐτοῦ «ἔκδοσις ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως», φ. 194β.

5. Ἀνώνυμος οὐρανογραφία καὶ στοιχειώδης θεολογία ἐκ κεφαλαίων ρ΄. Ἀρχ. «Οὐρανός ἐστι περιοχὴ ὁρατῶν τε καὶ ἀοράτων κτισμάτων» κτλ., φ. 204. Ἔσχατον κεφάλαιον τὸ περὶ Ἀντιχρίστου. Ἀρχ. «Χρὴ γινώσκειν ὅτι δεῖ τὸν Ἀντίχριστον ἐλθεῖν» κτλ.

6. «Ἀριστοτέλους περὶ οὐρανοῦ». Ἀρχ. «Ἡ περὶ φύσεως ἐπιστήμη σχεδὸν ἡ πλείστη» κτλ., φ. 252. Τέλος (φ. 257)· «τὸ δ' ἔλαττον βάρος τοῦ ἐλάττονος ἐστὶ μέγεθος».

7. Λογικῶν προβλημάτων σχήματα, φ. 260-266.

355. Τεῦχος μεμβράνινον ἐκ φύλλων 185 (μήκ. 0,195, πλ. 0,15), ὧν χάρτινα μόνα τὰ ἐννέα ἔσχατα (φ. 177-185)· καὶ ταῦτα μὲν ἐγράφη περὶ τὸ τέλος τῆς ις΄ ἑκατονταετηρίδος, πάντα δὲ τὰ μεμβράνινα φύλλα ἐστὶ π α λ ί μ ψ η σ τ α, ὧν τὸ μὲν παλαιὸν κείμενον, πλῆρες ὂν γεωμετρικῶν σχημάτων, ἔτι δὲ καὶ λίαν εὐανάγνωστον πολλαχοῦ, ἐγράφη τῇ δεκάτῃ ἑκατονταετηρίδι· τὸ δ' ἐπὶ τούτων μεταγενέστερον κείμενον, κεκαλλωπισμένον ἐνιαχοῦ μεγάλοις κεφαλαιώδεσι καὶ κεχρωματισμένοις γράμμασιν, ἐγράφη τῇ τρίτῃ ἢ τῇ τετάρτῃ καὶ δεκάτῃ ἑκατονταετηρίδι. Ὅπως δὲ γνωσθῇ ὁ συντάκτης τοῦ παλαιοῦ κειμένου, μεταγράφεται νῦν ὧδε τὸ μικρὸν τοῦτο παράδειγμα·

Φύλ. 4α	*πυραμὶς βάσιν μὲν ἔχουσα τὸ πλευρὸν τρίγωνον τὸ* ΑΒΓ *καὶ ἐ-*	*Ἐὰν περὶ κῶν - - πυραμὶς περιγραφῇ ἡ ἐπιφάνεια*
Φύλ. 4β	ΑΗ - - - - - - - - *τῶν* ΑΗ Α///Ζ ΕΗΖ *τρίγωνόν ἐστι*	*φανείας τῆς κωνικῆς τῆς μεταξὺ τῶν* ΑΔ *τετμήσθω ἡ* ΑΒΓ

Ἐν τῷ 184-ῳ φύλλῳ σεσημείωται, ὅτι ὁ κῶδιξ οὗτός ἐστι «Τῆς λαύρας τοῦ ὁσίου Σάββα».

Ε ὐ χ ο λ ό γ ι ο ν, οὗ ὁ πίναξ ὑπάρχει ἐν ταῖς τρισὶ πρώταις σελίσιν.—α΄) «Εὐχὴ λεγομένη εἰς τὸ εὐλογῆσαι τοὺς ἄρτους εἰς τὸ ἅγιον Πάσχα». Ἀρχ. «Ὁ πλούσιος καὶ ἄφθονος Θεός», φ. 2β. — β΄) Λειτουργία ἀκέφαλος καὶ κεκολοβωμένη Ἰωάννου τοῦ Χρυσοστόμου. Ἀρχ. « - - μαρτύρων, ὁμολογητῶν, διδασκάλων»

κτλ., φ. 3.—γ') «Ἀκολουθία σὺν Θεῷ τοῦ Ὄρθρου», φ. 13.—δ') «Ἀκολουθία τῆς γονυκλισίας (*κῶδ*. γονοκλησίας) τῆς ἁγίας Πεντηκοστῆς», φ. 18β.—ε') «Ἀκολουθία εἰς τὸ ὕδωρ τῶν ἁγίων Θεοφανίων». Ἀρχ. «Μετὰ τὴν ἀπόλυσιν τῆς ἁγίας λειτουργίας, διαλυομένων πάντων τῶν τῆς θείας μεταλαβόντων δωρεᾶς, μόνου δὲ τοῦ ἱερέως» κτλ., φ. 27. Μεταξὺ τῶν φύλλων 28 καὶ 29 παρεμβέμβληται μικροῦ σχήματος τετράδιον χάρτινον τῆς ις' ἑκατονταετηρίδος, ἐν ᾧ περιέχονται προσθῆκαί τινες τῇ εἰρημένῃ ἀκολουθίᾳ.—ς') «Εὐχὴ εἰς τὸ κατασφραγῖσαι παῖδα, λαμβάνοντα ὄνομα τῇ η' ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ», φ. 29β.—ζ') «Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι γυναῖκα», φ. 30β.—η') «Εὐχὴ εἰς τὸ σερανταρῆσαι [sic] παῖδα εἰσερχόμενον μετὰ τὴν μητέρα [sic] αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ ἐν τεσσαράκοντα ἡμέραις». Ἀρχ. «Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐν τεσσαράκοντα ἡμέραις» κτλ., φ. 31.—η') «Τάξις γινομένη εἰς τὸ κατηχῆσαι παιδίον». Ἀρχ. «Ἀποδύει αὐτὸν καὶ ὑπολύει» κτλ., φ. 31β.—θ') «Ἀκολουθία ἐπὶ μνηστείας». Ἀρχ. «Ἵσταται ὁ ἱερεὺς ἔσωθεν τοῦ ἱερατίου, οἱ δὲ ὁρκιζόμενοι πρὸ τῶν θυρῶν» κτλ., φ. 42.—ι') «Κανὼν ἐκκλησιαστικὸς εἰς γάμους», φ. 43. — ια') Εὐχαὶ ἐπὶ μετανοούντων, ἐπὶ ἐξομολόγου, εἰς τὸν ἐν ἐπιτιμίοις εὑρισκόμενον καὶ εἰς τὸ λῦσαι κανόνα, φ. 50-52.—ιβ') «Τάξις καὶ ἀκολουθία τοῦ ἁγίου ἐλαίου, ἤγουν ἐπὶ ἀρρώστους». Ἀρχ. «Συνάγονται ἑπτὰ πρεσβύτεροι», φ. 52.—ιγ') «Εὐχὴ ἐπὶ τῶν ἀλόγως ὑπό τινων ἀφοριζομένων ἢ ἑαυτοὺς τοὺς ὁρκοδεσμοῦντας». Ἀρχ. «Ὁ Θεὸς ὁ φοβερὸς καὶ δυνατὸς» κτλ., φ. 62β.—ιδ') Φύλ. 65-74. Εὐχαὶ ποικίλαι, οἷον ἐπὶ θεμελίῳ ἐκκλησίας, ἐπὶ ἑδράσει θυσιαστηρίου, εἰς σαλευθεῖσαν τράπεζαν, εἰς ἐκκλησίαν ὑπὸ αἱρετικῶν μιανθεῖσαν, εἰς κεφαλοκλισίαν, ψυχομαχοῦντας καὶ βιαζομένους, εἰς κόλλυβα· ἕτεραι πάλιν εὐχαὶ ἐν τῷ μέλλειν ἀριστᾶν, μετὰ τὸ ἀναστῆναι ἐξ ἀρίστου, «εἰς θῦμα μνήμης ἁγίων», «εἰς θυσίας ἅλατος», «ἐπὶ θυσίας εἰς βοῦν», «ἐπὶ θνῆσιν βοῶν», «εἰς λειτουργίαν γενομένην διὰ φόβον», εἰς ἀνομβρίαν, «ἐπὶ ἀρχοσπορίου», ἐπὶ ἀρχὴν θέρους, σεισμοῦ, «ἐπὶ σωροῦ» καὶ ἐπὶ τρυγούντων. — ιε') Τάξις, εἰ συμβῇ μιαρὸν ἢ ἀκά-

θαρτον ἐμπεσεῖν εἰς ἀγγεῖον οἴνου, ἢ ἐλαίου, ἢ μέλιτος κτλ., φ. 75. — ιϛ′) Εὐχὴ ἐπὶ φρέαρ μιανθέν, ἑτέρα ἐπὶ μιανθὲν σκεῦος κοῦφον, ἐπὶ παντὸς εἴδους μιανθέντος, ἐπὶ βρώμασιν σκανδαλισθέντων, ἐπὶ μιαροφαγησάντων, ἐπὶ μαγαρισάντων, ἐπιστρεφόντων καὶ ἐπὶ χειμαζομένων, φ. 76 κἑ. — ιζ′) Ἀφορκισμὸς τοῦ μεγάλου Βασιλείου ἐπὶ χειμαζομένων, φ. 79. — ιη′) «Ἀπορκισμὸς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Γρηγορίου εἰς τὰ πνεύματα τὰ ἀκάθαρτα». Ἀρχ. «Ἐν ἀρχῇ ἦν ὁ Λόγος» κτλ., φ. 82.—ιθ′) Εὐχαὶ ἐπὶ οἰκοδομούντων οἶκον καινόν, ἐπὶ εὐλογίᾳ οἴνου, ἐπὶ ἀποδημούντων, εἰρηνευόντων ἀπὸ ἔχθρας, εἰς τεκνοποίησιν, κεφαλοκλισίαν, ἀδελφοποίησιν, εἰς πηγνύμενον σταυρόν, εἰς κοίτην κτλ., φ. 86β κἑ.—κ′) «πγ′ Εὐχὴ τοῦ Χρυσοστόμου εἰς τὴν ἁγίαν μετάληψιν», φ. 90β.—κα′) «πδ′ Εὐχὴ» τοῦ αὐτοῦ μετὰ τὴν μετάληψιν, φ. 91β.—κβ′) «Ἀκολουθία εἰς τὸ ἀπομυρίσαι τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν», φ. 92. — κγ′) «Ἀπορκισμὸς τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ κατὰ τῆς αὔρας τοῦ χαλεποῦ Δαίμονος», φ. 93.—κδ′) «πζ′ Ἀπορκισμὸς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Τρύφωνος περὶ τῆς ἀμπέλου, κήπου καὶ τῶν χωραφίων», φ. 94β. — κε′) «Ἀποστολοευαγγέλια τῆς ἑβδομάδος», φ. 96. — κϛ′) Ἀσματικαὶ ἀκολουθίαι εἰς κοιμηθέντας, φ. 100β.—κζ′) Εὐαγγέλια ἑωθινά, φ. 108.—κη′) «Προκείμενα ἀναστάσιμα καὶ ἀλληλούια τῶν η′ ἤχων», φ. 115. — κθ′) Διάταξις τῶν ἀποστολοευαγγελίων τῶν μεγάλων ἑορτῶν τοῦ ἐνιαυτοῦ, φ. 116-185.

356. Τεῦχος χάρτινον τῆς ιζ′ ἑκατονταετηρίδος, ἐκ φύλλων 63, μήκ. 0,185, πλ. 0,148. — Ἀνωνύμου θεολογικὴ συγγραφὴ κεκολοβωμένη, διῃρημένη, ὡς ἔχει, εἰς κδ′ κεφάλαια, ὧν τὸ μὲν πρῶτον «περὶ τῆς εἰς Θεὸν πίστεως» (ἀρχ. «Ὁ πρῶτος τοῦ τὴν μακαριότητα ἐλπίζειν βαθμός ἐστιν ἡ πίστις» κτλ.), τὸ δ' ἔσχατον περὶ μελέτης τῶν θείων λογίων· λήγει δὲ τοῦτο εἰς τὰς ἑξῆς λέξεις· «καὶ τὰς τῶν σοφῶν ἀνδρῶν ὑπὸ τῆς ἐκκλησίας ὡς εὐσεβεῖς κεκυρωμέ - - - ». Τῆς συγγραφῆς ταύτης προτέτακται ἐπιστολὴ περὶ τῶν νηστειῶν ἀνώνυμος, ἧς ἡ ἀρχή· «Ἀπὸ τὸ γράμμα τῆς ἐκλαμπρότητός σου γνωρίζοντας τὴν εὐσέβειαν ὁποῦ ἔχεις εἰς τὰ

θεῖα» κέ. Ἐγράφη «ἀπὸ τὴν Χρυσοπηγὴν τοῦ Γαλατᾶ τῆς Κωνσταντινουπόλεως κατὰ τὸ ,αχλε' [= 1635] ἔτος τῆς σωτηρίας, μαρτίῳ α'».

357. Τεῦχος χάρτινον τῆς ις' ἑκατ. ἐκ φύλλων ἠριθμημένων 429, μήκους 0,195, πλ. 0,153. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 19 (0,13 × 0,19). Ἐν τῇ ῴᾳ τοῦ 1-ου φύλλου· «† Λαυρεντίου ἱερομονάχου τοῦ Βισανθηνοῦ καὶ τοῦτο:—νῦν δὲ διὰ Χρυσάνθου ἱερομονάχου κτῆμα αἰώνιον τοῦ Παναγίου Τάφου». Ἐν τῇ δευτέρᾳ σελίδι τοῦ 303-ου φύλλου ὑπογραφὴ τοῦ καλλιγράφου· «† Θεοῦ τὸ δῶρον καὶ Θεοφάνους πόνος».

1. «Νικηφόρου μοναστοῦ καὶ πρεσβυτέρου τοῦ Βλεμμύδους εἰσαγωγικῆς ἐπιστήμης» βιβλίον α' καὶ β'. Ἀρχ. «Ἐπειδή περ ἡ λογικὴ» κτλ., φ. 1.

2. «Ἐκ τῆς εἰς τὸν ὄγδοον ψαλμὸν ἐξηγήσεως». Ἀρχ. «Εἰπὼν ὁ προφήτης πρὸς τὸν Θεὸν» κτλ., φ. 291β.

3. Μελετίου περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς, φ. 304-429.

358. Τεῦχος χάρτινον τῆς ις' ἑκατ. ἐκ φύλλων 322, μήκ. 0,195, πλ. 0,15. Τὰ φύλλα 154-332 ἀποτελοῦσιν ἴδιον τεῦχος, ὅπερ ἐγράφη ὡσαύτως τῇ ις' ἑκατονταετηρίδι. Ἐν τῷ ἐσχάτῳ φύλλῳ δύο σημειώματα τῆς ιζ' ἑκατ. α') «Γεράσιμος ἱερομόναχος καὶ καθηγούμενος τοῦ ἁγίου Νικολάου τοῦ ἐν - - ».—β') «Καγω Νεόφυτος, προηγοῦμενος, τῆς αὐτῆς μονῆς καὶ δουλωμένος εἴσολημου τηνζωῆν και διατω ἀσφαλαὶς ὑπέγραψα ἠκυόχεῖρος».

1. Ἀκέφαλον ὑπόμνημα, διῃρημένον εἰς ξ' κεφάλαια καὶ ἀρχόνον νῦν, ὡς φαίνεται, ἀπὸ τοῦ β' κεφαλαίου, οὗ ἡ ἐπιγραφή· «Ὅτι ἡ ἁγία τριὰς ἔναι εἰς τρεῖς χαρακτῆρας, πλὴν δὲ Θεὸς ἕνας ἔναι καὶ οὐχὶ τρεῖς, καὶ ὅτι ὁ ἄνθρωπος ἔναι κατ' εἰκόνα Θεοῦ, καὶ ὅτι ὁ Λόγος τοῦ Θεοῦ, ἤγουν ὁ Χριστός, ἔχει δύο γεννήσεις, καθὼς καὶ ὁ λόγος τοῦ ἀνθρώπου». Ἀρχ. «Ἡ θεία καὶ ἁγία τριὰς» κτλ., φ. 1-86.

2. «Χρονογραφικὸν ἐν συντομίᾳ, τὸ ὁποῖον ἀρχίζει ἀπὸ τοῦ πρώτου βασιλέως τοῦ μεγάλου Κωνσταντίνου, ὁποῦ ἔκτισε τὴν Κωνσταντινούπολιν, καὶ λέγει κατ' ὄνομα ὅλους τοὺς βασιλεῖς,

ὁποῦ ὥρισαν αὐτὴν τὴν Κωνσταντινούπολιν, καὶ πόσους χρόνους ἐβασίλευσεν ὁ καθένας· καὶ ἔρχεται ἕως τὴν σήμερον· τὸ ὁποῖον, ὅταν ἔκτισεν ὁ αὐτὸς μέγας Κωνσταντῖνος τὴν Κωνσταντινούπολιν, ἦσαν χρόνοι ἀπότις (*κῶδ.* ἀπὸ τῆς) ἔκτισεν ὁ Θεὸς τὸν κόσμον πέντε χιλιάδες ὀκτακόσιοι τριάντα ὀκτώ, καὶ ἕως τῆς σήμερον, ὁποῦ γράφει ὁ χρονογράφος τοὺς βασιλεῖς, εἶναι χρόνοι ἑπτὰ χιλιάδες ὀγδοήντα ἕνας» [=1572—1573]. Ἀρχ. «Ὁ θεῖος αὐτὸς μέγας Κωνσταντῖνος, ὡσὰν ἐνίκησε βασιλέα τὸν Μαξέντιον» κτλ., φ. 87. Τέλος (φύλ. 150)· «ἔσωσεν εἰς τὸ νησὶ τῆς Κύπρου [=ὁ σουλτὰν Σελήμ], εἰς τὴν Λεμεσόν, ὥρᾳ πρώτῃ τῆς νυκτὸς καὶ τῆς ὥρας - - - ».

3. «Ἀπὸ τῆς ἐξηγήσεως καὶ διηγήσεως σὺν Θεῷ ἁγίῳ τοῦ ὄρους Σινᾶ τοῦ ἁγίου καὶ τῶν λοιπῶν (*κῶδ.* λοιπὸν) Ἁγίων Τόπων πάνυ ὁ[=ὡ]ραιότατον». Ἀρχ. «Τὸ Σινᾶ ὄρος ἅγιον ἐστὶ» κτλ., φ. 151$^{\alpha}$. Τέλος (φ. 153$^{\beta}$)· «Ἀκομὴ [sic] εἰς τὸ ἅγιον ὄρος Σινᾶ ἀπὸ κάτω εἰς τὴν ἐκκλησίαν τῆς Παναγίας εἶναι τὰ πυθάρια [sic] ὁποῦ - - - ».

4. Ἀκέφαλος ἑρμηνεία εἰς ῥητὰ τῆς Παλαιᾶς Διαθήκης περὶ τῆς ἐμφανίσεως τοῦ Χριστοῦ. Ἀρχ. « - - - ὅτι πῶς εἰς τὴν ἀνάκλησίν του, τουτέστιν εἰς τὸν καιρὸν τοῦ πάθους του, θέλει δώσῃ εἰς αὐτὸν ὁ νάρδος τὴν μυρωδίαν του» κτλ., φ. 154-332.

359. Τεῦχος χάρτινον τῆς ις' ἑκατ. ἐκ φύλλων 140, μήκ. 0,20, πλ. 0,146. Ἔνδον τῆς πρώτης πινακίδος δύο σημειώματα τῆς ιη' ἑκατ. α') «Ἐκ τῶν τοῦ Ἀθανασίου ἱερομονάχου κυρ Κοντίλου· εἶναι δῶρον πρὸς ἐμέ».—β') «✝ Τὸ παρὸν λεξικὸν ὑπάρχῃ τοῦ ἐλαχίστου ἐν ἱερομονάχοις Μακαρίου».

Ἐπιγραφή· «Λεξικὸν σὺν Θεῷ ἁγίῳ τῶν εἰκοσιτεσσάρων στοιχείων τῆς ἀλφαβήτου, ἑρμηνευθὲν καὶ διασαφισθὲν εἰς κοινὴν γλῶτταν παρ' ἐμοῦ τλήμονος Θεοδώρου Ἴρου, ἀλιτροῦ ἐν κοι///όλεσιν, ὅσον οἷός τε ὦ, μᾶλλον δὲ ὅσον κατὰ πάντα καλῶς εὖ μάλα καὶ σοφῶς (ἡ) διέπουσα θεία πρόνοια χορηγήσει» κτλ. Ἀρχ. «Ἄλφα παρὰ τὸ ἄλφειν τὸ εὑρίσκειν, ὅτι πρῶτον τῶν ἄλλων στοιχείων εὑρέθη» κτλ.

360. Τεῦχος χάρτινον ἐκ φύλλων 112 (μήκ. 0,195, πλ. 0,158), ὅπερ ἐγράφη διὰ χειρός, ὡς φαίνεται, Μελετίου τοῦ Συρίγου ἔτει 1649-ῳ. —Ἐπιγραφή· «,Αχμβ' [= 1642] σεπτεμβρίῳ ιε'. Ἔκθεσις πίστεως τῆς ἐν Ῥωσσίᾳ τῇ Μικρᾷ Ἐκκλησίας (ἣν καὶ Κατήχησιν ὠνόμασαν), ἐκδοθεῖσα κατ' ἐρώτησιν καὶ ἀπόκρισιν». Ἀρχ. «Ἐρώτησις α'. Ὁ ἄνθρωπος ὁ χριστιανὸς ὁ ὀρθόδοξος καὶ καθολικὸς τί χρεωστεῖ διὰ νὰ κληρονομήσῃ τὴν ζωὴν τὴν αἰώνιον; Ἀπόκρισις. Πίστιν ὀρθὴν» κτλ., φ. 1. Μετὰ τὸ κείμενον (φ. 112)· «Ἡ βίβλος αὕτη προσηνέχθη ἡμῖν λατινιστὶ πρῶτον γεγραμμένη παρὰ τῶν λογιωτάτων πρέσβεων Ῥωσίας κυρίου Ἡσαΐου Τροφημίου καὶ Ἰγνατίου Ὀζενοβικίου καὶ Ἰωσὴφ Κωνωβικίου, ἵνα κύρωσίν τε καὶ διόρθωσιν λάβῃ παρ' ἡμῶν τῶν τῆς Μεγάλης Ἐκκλησίας ἐξάρχων τε καὶ λεγάτων, τοῦ τε πανιερωτάτου μητροπολίτου Νικαίας κυρίου Πορφυρίου καὶ ἐμοῦ Μελετίου Συρίγου, διδασκάλου τῆς Μεγάλης Ἐκκλησίας· ἣν εἰς κοινὴν μεταφράσαντες διάλεκτον καὶ διορθώσαντες εἰς τὴν ἐν Κωνσταντινουπόλει σύνοδον ἐξαπεστείλαμεν, πατριαρχοῦντος τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου κυρίου Παρθενίου τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐν μηνὶ ὀκτωβρίῳ λῃ ,αχμθ' [= 1649] ἰνδικτ. ιαης:— Ταῦτα τὰ ζητήματα ἐπέμφθησαν ἡμῖν ἐν Γιασίῳ τῆς Μολδαβίας παρὰ τοῦ πανιερωτάτου μητροπολίτου Κιόβου διὰ τῶν αὐτοῦ πρέσβεων Ἡσαΐου, Ἰγνατίου καὶ Ἰωσήφ, τῇ κζῃ τοῦ ὀκτωβρίου μηνός. ,αχμβ'. τὰς ἀποκρίσεις αἰτοῦντος ἀπὸ τῆς Μεγάλης Ἐκκλησίας». Ἐν τῷ κώδικι τούτῳ περιέχεται ἁπλῶς ἡ γνωστὴ «Ὀρθόδοξος ὁμολογία τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας τῆς Ἀνατολικῆς»· ἥτις τὸ πρῶτον ἐξεδόθη ἐν Ὁλλανδίᾳ ἔτει, καθὰ φαίνεται, 1667-ῳ [É. Legrand, Bibliographie hellénique; XVII-e siècle, τ. II, σ. 202-216]· ταύτης δὲ τῆς σπανιωτάτης ἐκδόσεως ἰσότυπον ὑπάρχει ἐν τῇ ἡμετέρᾳ βιβλιοθήκῃ. Ἡ αὐτὴ ὁμολογία μετετυπώθη ὑπὸ τοῦ Schelstrate, Acta Orientalis Ecclesiae contra Lutheri haeresim. Romae 1739, pars secunda, σ. 396-633. Ἐσχάτη μετατύπωσις ἡ τοῦ Ἰ. Ἐ. Μεσολωρᾶ, Συμβολικὴ τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας. Ἐν Ἀθήναις 1883, τ. I, σ. 362-487.

361. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατ. ἐκ φύλλων 132, μήκ. 0,192, πλ. 0,15. Φύλλα ἄγραφα· 77-79, 85-86 καὶ 89-91.

1. Ὁμήρου Ἰλιάδος α-δ μετὰ κοκκίνης ψυχαγωγικῆς ἑρμηνείας, φ. 1-64.

2. Ἰωάννου τοῦ Δαμασκηνοῦ «κανὼν τῆς ἁγίας Πεντηκοστῆς ἰαμβικός, οὗ ἡ ἀκροστιχὶς ἡρωελεγεῖον», φ. 65. Κείμενον καὶ κοκκίνη ψυχαγωγικὴ ἑρμηνεία.

3. Γρηγορίου τοῦ Ναζιανζηνοῦ τετράστιχα μετὰ κοκκίνης ψυχαγωγικῆς ἑρμηνείας, φ. 69β.

4. Βατραχομυομαχία μεθ' ἑρμηνείας, φ. 80.

5. Ἀνεπίγραφον, οὗ ἡ ἀρχή· «Ζωοδότειρα τεκοῦσα Θεοῦ Λόγον» κτλ., φ. 84.

6. «Τῷ σοφωτάτῳ καὶ λογιωτάτῳ ἀνδρὶ κυρίῳ Παϊσίῳ τῷ ἐν ἱερομονάχοις Παρθένιος ὁ ἐλάχιστος εὖ πράττειν». Ἀρχ. «Ἰδοὺ στέλλω πρὸς τὴν σὴν ἀκρότητα ταύτην τὴν χθαμαλήν μου συγγραφὴν» κτλ., φ. 87.

7. Ἀκέφαλος βίος τοῦ ἁγίου Ἰγνατίου Κωνσταντινουπόλεως. Ἀρχ. « - - ἐγνωρίζετο καὶ τοῦ πρὸς τοὺς πολλοὺς μόνον καὶ χυδαιοτέρους, πρὸς οὓς ἀδικοῦντας τάχα καὶ ἄλλος ἂν παρρησιάσατο» κτλ., φ. 92-132.

362. Ἑλληνοβλαχικὴ λειτουργία τοῦ μεγάλου Βασιλείου. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατονταετηρίδος ἐκ φύλλων 42, μήκους 0,20, πλ. 0,148.

363. Κῶδιξ χάρτινος Ἀλεξάνδρου Ἱέρακος (μήκους 0,205, πλ. 0,128), ὅστις ἠρίθμει πρότερον φύλλα 220 σὺν 7 ἑτέροις φύλλοις ἀγράφοις· νῦν δὲ ἀριθμεῖ φύλλα 140. Ὁ χάρτης στιλπνός· ἡ γραφὴ πυκνοτάτη· τὸ κείμενον δίστηλον· ἐγράφη δὲ ἔτει 1596-ῳ. Κατὰ τὴν παλαιὰν τῶν φύλλων ἀρίθμησιν ἀπωλέσθησαν τὰ πρώτιστα 82 φύλλα. Ἔνδον τῆς πρώτης πινακίδος ὑπάρχει κεκολοβωμένη «πρὸς τὸν Ἀντιοχείας πατριάρχην» ἐπιστολή, γεγραμμένη ὡσαύτως διὰ χειρὸς Ἀλεξάνδρου τοῦ Ἱέρακος. Ἀρχ. «Διττὰς φιλοσοφίας ὁ τῆς ἀληθείας λόγος ἐπίσταται» κτλ.

1. Συναγωγὴ ἀποσπασμάτων ἐκ συγγραφέων ἐκκλησιαστικῶν,

ῥητορικῶν καὶ γραμματικῶν, καὶ συναγωγὴ ποικίλων γνωμικῶν, φ. 83-141.

2. «Ἱέρακος τοῦ μεγάλου λογοθέτου τῆς Μεγάλης Ἐκκλησίας πρός με τὸν υἱὸν αὐτοῦ λογοθέτην Κωνσταντῖνον τὸν καὶ Ἀλέξανδρον» [1]. Ἀρχ. «Οἱ περὶ τὰς ἱστορίας πονήσαντες» κτλ., φ. 131^{β}.

3. «Χρονικὸν σύντομον Ἱέρακος τοῦ μεγάλου λογοθέτου τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας». Ἀρχ. «Ἀρχὴ τῶν πραχθέντων ὑπὸ Θεοῦ ποιημάτων ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι» κτλ., φ. 142. Τέλος (φ. 183)· «μεθ' ὃν Κωνσταντῖνος ὁ Δράγασης, ὑφ' οὗ ἑάλω ἡ Πόλις παρὰ τοῦ σουλτὰν Μεεμέτου: — Δόξα τῷ Θεῷ τῷ δόντι μοι τέλος τόδε:—ἐν τῇ οἰκίᾳ τοῦ γείτονος Μεεμὲτ Τζελεμπῆ, εὑρεθέντι ἐκεῖσε διὰ λύπην πολλήν: νοεμβρίῳ θῃ ἰνδικτ. κατὰ τὸ ,ζρε^{ον} ἔτος» [=1596].

4. [Ἱέρακος τοῦ μεγάλου λογοθέτου θρῆνος, ἢ] «Διὰ τὴν τῶν Τούρκων βασιλείαν». Ἀρχ. «Πρῶτον τῷ παντοκράτορι κυρίῳ τῷ δεσπότῃ» κτλ., φ. 183^{β}-191^{α}. Στίχοι 740. Ἐξ ἀντιγραφῆς Σ. Δ. Ἀριστάρχου ἐξεδόθη ὑπὸ Ph. Déthier, Mon. Hung. hist., τ. XXI, μέρος 1-ον, σ. 357 κέ.

5. «Τοῦ μεγάλου Μαξίμου ἐκ τοῦ πῶς ἐνῴκησεν ὁ Θεὸς Λόγος, καὶ τί ἐνοίκησις», φ. 191^{α}.—Τοῦ αὐτοῦ «πρὸς Ἰωάννην τὸν σοφιστήν», φ. 192^{α}. — «Τοῦ αὐτοῦ λόγος ἀσκητικὸς κατὰ πεῦσιν καὶ ἀπόκρισιν», φ. 193^{α}.—«Τοῦ αὐτοῦ λόγος ἀσκητικὸς κατὰ πεῦσιν καὶ ἀπόκρισιν», καὶ ἑτέρων συγγραφέων τεμάχη, φ. 202-210^{α}.

6. «Διὰ τὸν ἅγιον Σπυρίδωνα». Ἀρχ. «Ἀλλ' ἵνα μὴ τῶν λόγων τὸ νικᾶν εἴη, ἀλλὰ Χριστοῦ καὶ τῆς ἀληθείας» κτλ., φ. 210^{α}.

7. «Ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν περὶ τῆς ἐμῆς εὐαγοῦς πίστεως, ἐν ᾗ καὶ γεγέννημαι καὶ ἐκτέθραμμαι καὶ κατὰ Θεοῦ χάριν ἵσταμαι, κατὰ τὸν θεῖον φάναι ἀπόστολον, αὕτη ἐστί. Τὸ πιστεύω εἰς ἕνα Θεὸν παντοκράτορα: Πρὸς ταύτοις ἀποδέχομαι τὰς ἑπτὰ ἁγίας» κτλ., φ. 211^{α}.

[1] Ὁ αὐτὸς Ἀλέξανδρος ἀντέγραψεν ἔτει 1593-φ λόγους Γρηγορίου τοῦ Νύσσης καὶ τὸν νομοκάνονα Μανουὴλ τοῦ Μαλαξοῦ. Ὅρα Omont, Catalogue des manuscrits grecs de la bibliothèque royale de Bruxelles. Gand 1885, σ. 13 - 43. S. Lambros, Catalogue of the greek manuscripts on mont Athos, τ. I, σ. 194, ἀριθμ. 2277.

8. «Τοῦ σοφωτάτου Γαληνοῦ δίαιτα ἀκριβής· περὶ καταστάσεως ὑγιεινῆς τοῦ ἀνθρώπου καὶ τῆς κατασκευῆς». Ἀρχ. «Πᾶσι τοῖς ἐθέλουσιν ὑγιεινῶς διάγειν», φ. 211β.

9. «Ἐρώτησις Πέτρου διακόνου πρὸς Γρηγόριον τὸν Διάλογον, τὸν ἑαυτοῦ διδάσκαλον». Ἀρχ. «Ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ λέγει», φ. 212α.

10. «Φωτίου Κωνσταντινουπόλεως, τίνος χάριν τίθεται τὸ ἅγιον καὶ ἱερὸν Εὐαγγέλιον τῇ κεφαλῇ τοῦ χειροτονουμένου». Ἀρχ. «Διατί ἐπὶ τῆς κεφαλῆς ἔφερεν ὁ ἱερεὺς τιάραν» κτλ., φ. 213α.

11. «Ἱστορία καὶ σύγγραμμα κυροῦ Συμεὼν μαγίστρου καὶ λογοθέτου περὶ τοῦ πανθαυμάστου ναοῦ τῆς τοῦ Θεοῦ Λόγου Σοφίας, ὃν ὁ μέγας ἀνήγειρεν Ἰουστινιανός, θείῳ ζήλῳ κινηθείς, ἐν τῷ δεκάτῳ χρόνῳ τῆς βασιλείας αὐτοῦ ἀρξάμενος». Ἀρχ. «Ὁ μέγας Κωνσταντῖνος βασιλεύσας» κτλ., φ. 213α.

12. «Περὶ πίστεως ὀρθοδόξου». Ἀρχ. «Πιστεύειν δεῖ τὸν ὄντα χριστιανόν, ὡς αἱ ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι ἐπεκύρωσαν» κτλ., φ. 217β-220. Εἶτα πέντε φύλλα ἄγραφα.

364. Τεῦχος χάρτινον τῆς ιη' ἑκατ. ἐκ φύλλων 162, μήκ. 0,19, πλάτους 0,135. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 19 (0,153 × 0,095).

1. [Βικεντίου Δαμωδοῦ] «Συνταγμάτιον τῆς μεταφυσικῆς». Ἀρχ. «Τί εἶναι ἡ μεταφυσικὴ καὶ τί θεωρεῖ. Τῆς ἐπιστήμης τούτης τὸ ὄνομα, τὴν ὁποίαν ἡμεῖς μεταφυσικὴν» κτλ., φ. 1-69.

2. «Ζητήματα μεταφυσικὰ εἰς τὴν κοινὴν διάλεκτον παρὰ Βικεντίου τοῦ Δαμωδοῦ, τὰ ὁποῖα προστίθενται εἰς τὴν μεταφυσικήν, εἰς ἀκριβεστέραν ταύτης ἀπόκρισιν». Ἀρχ. «Ἠθέλησα νὰ ἀκολουθήσω τὴν μέθοδον» κτλ., φ. 70-162.

365. Τεῦχος χάρτινον τῆς ιζ' ἑκατονταετηρίδος, ἐκ φύλλων 232, μήκ. 0,198, πλ. 0,138. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 18 (0,142 × 0,09).—Ἐπιγραφή· «‚Αω χω λω εω [=1635], δεκεμβρίου αῃ, εἰς Μολδοβλαχίαν. Τὸ παρὸν βιβλίον ἐσύνθεσεν εἰς ἑλληνικὴν γλῶτταν ὁ φιλόχριστος βασιλεὺς ἡμῶν κύριος Ἰωάννης Κανταχουζηνός, ὁποῦ ὕστερον ὠνομάσθη διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχή-

ματος Ἰωάσαφ μοναχός, εἰς τοὺς ‚ατξ′ χρόνους ἀπὸ τὴν ἔνσαρκον οἰκονομίαν· μετεφράσθη δὲ εἰς κοινὴν γλῶτταν ὑπὸ Μελετίου τοῦ Συρίγου μὲ παρακίνησιν τοῦ ἐκλαμπροτάτου καὶ θεοσεβεστάτου αὐθεντὸς πάσης Μολδοβλαχίας κυρίου Ἰωάννου Βασιλείου βοεβόνδα».

366. Τεῦχος χάρτινον τῆς ιζ′ ἑκατ. ἐκ φύλλων 115, μήκ. 0,20, πλ. 0,155. Ἐν τῇ προσθίᾳ σελίδι τοῦ 1-ου φύλλου· «Conventus monasterii S. Martini ord. S. P. Bened. in Sacramentis Panoniae». —Ἐπιγραφή· «Commentarius in Marci T. C. partitiones rhetoricas».

367. Τεῦχος χάρτινον τῆς ιθ′ ἑκατ., διμερές, ἐκ φύλλων 124. — α′) «Εἰσαγωγὴ εἰς τὴν ἠθικὴν θεολογίαν». Ἀρχ. «Πᾶς ἄνθρωπος, ὅστις μετὰ προσοχῆς τινος ἐξηρεύνησε τὰ ἐνδόμυχα τῆς ψυχῆς του» κτλ. Μετὰ τὸ πέρας τοῦ κειμένου· «‚αωξζ′ [= 1867] αὐγούστου 15 ἔγραφον ἐν τῇ Θεολογικῇ Σχολῇ τῶν Ἱεροσολύμων. Σωφρόνιος ἱεροδ. Λ(έσβιος)». —β′) «Ἀπολογητικὴ χριστιανικὴ ὑπὸ τοῦ ἱεροδιδασκάλου Ἱερωνύμου Μυριανθέως». Ἀρχ. «Διὰ τῶν παρόντων μαθημάτων» κτλ.

368. Μαθηματάριον χάρτινον τῆς ιθ′ ἑκατ. Ἐν τῷ ἐσχάτῳ φύλλῳ τοῦ 3-ου τετραδίου· «Τέλος καὶ τοῦ τρίτου Ὀλυνθιακοῦ εἰς τὰ 1832 ἀπριλίου 23, παρὰ διδασκάλου Γαβριὴλ τοῦ ἐν τῷ τοῦ Ἁγίου Δημητρίου. σχολείῳ Κανάβη, γραφθὲν δὲ παρὰ τοῦ κυρίου Μιχαὴλ Γεωργιάδου».

369. Τετραευαγγέλιον μεμβράνινον τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος, μήκους 0,19, πλ. 0,143. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 21. Φύλλα χάρτινα τῆς ιε′ ἑκατ. 1, 2, 74-80 καὶ 275-278. Τὸ κατὰ Λουκᾶν εὐαγγέλιον ἀκέφαλον, ἀρχόμενον ἀπὸ τῶν λέξεων· « - - σαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ» κτλ.

370. Τεῦχος μεμβράνινον ἐκ φύλλων 223, μήκους 0,182, πλ. 0,152. Τὸ κείμενον μονόστηλον ἐκ γραμμῶν 23 (0,157 × 0,09)· ἐγράφη δέ, καθὰ φαίνεται, περὶ τὴν ἀρχὴν τῆς τρίτης καὶ δεκάτης ἑκατονταετηρίδος. Τὸ τεῦχος τοῦτο ὑπέστη βλάβας οὐκ ὀλίγας, ἀφαιρεθέντων ἐξ αὐτοῦ καὶ φύλλων καὶ τετραδίων ἱκανῶν,

τὰ δὲ σωζόμενα νῦν αὐτοῦ τετράδιά ἐστιν ἀτάκτως ἐντεταγμένα. Ἡ πρώτη σελὶς ἐκαλύφθη ἑτέρῳ τινὶ κειμένῳ, ἐν δὲ τῇ δευτέρᾳ περιέχεται τὸ σημείωμα τοῦτο· «Ἐκοιμείθη ὁ ἐν βασιλεῦσιν ἀΐδημος καὶ τρισμακάριστος καὶ ἅγιος κύρης Ἰω(άννης) ὁ Δούκας μηνὶ νοευρίω ης τὰς τρὶς ημερα Τρητη ἰνδ. ιγ ἔτους ,ςψξγ'» [= 1254]. Ἐν τῷ 6-ῳ φύλλῳ κόσμημα ἐρυθρόν.

Νεοφύτου πρεσβυτέρου καὶ ἐγκλείστου κατηχήσεων βιβλία δύο, ὧν ὁ πίναξ ὑπάρχει μεταξὺ τοῦ 2-ου καὶ τοῦ 5-ου φύλλου [1]· ἐλλείπουσι δὲ νῦν τοῦ μὲν πρώτου βιβλίου αἱ ἑπόμεναι κατηχήσεις· «ε' Περὶ ἀκροάσεως ἀναγνώσεων, καὶ περὶ τοῦ θείου Γαβριὴλ καὶ τῶν Εὐαγγελίων τῆς Θεομήτορος. ς' Κυριακῇ πρώτῃ τῶν Νηστειῶν περὶ ἐργασίας πνευματικῆς. η' Κυριακῇ γ' τῶν Νηστειῶν περὶ τῆς παραβολῆς τοῦ ἀμπελῶνος, καὶ εἰς τὸν Σταυρὸν καὶ τὴν Μεσονήστιμον». Τοῦ δὲ δευτέρου βιβλίου κατηχήσεις ἐλλείπουσιν αἱ ἑξῆς· 1) «Κυρ. ιε' περὶ τῶν ἑξῆς τῶν προρρηθέντων». 2) «Κυρ. ις' ἀνακεφαλαίωσις τῶν εἰρημένων». 3) «Κυρ. ιζ' περὶ τοῦ τριμεροῦς τῆς ψυχῆς κινήματος». Κατηχήσεις ὑπάρχουσαι νῦν ἀτάκτως πως ἐν τῷ κώδικι τούτῳ εἰσὶν αἱ ἑξῆς·

Βιβλίον πρῶτον.

1. «Νεοφύτου πρεσβυτέρου καὶ ἐγκλείστου πρόλογος εἰς τήνδε τὴν βίβλον τῶν κατηχήσεων, καὶ ὅτι καλὸν τὸ καλῶς καὶ κατὰ Θεὸν ἄρχειν, καὶ καλὸν αὖθις τὸ καλῶς ἄρχεσθαι καὶ ὑπείκειν». Ἀρχ. «Κατὰ τὴν οὖσαν συνήθειαν τοῦ ἀσπασμοῦ», φ. 6α.

2. Κατήχησις α'. «Νεοφύτου πρεσβυτέρου, μοναχοῦ καὶ ἐγκλείστου εἰς τὴν Κυριακὴν τῶν Ἁγίων Πατέρων περὶ τῆς Χριστοῦ γεννήσεως, καὶ περὶ εὐχαριστίας καὶ ὀρθοῦ βίου». Ἀρχ. «Ἀδελφοὶ καὶ πατέρες, δεῦτε προθύμως καὶ εἰλικρινῶς» κτλ., φ. 10. Μετὰ τὸ 12-ον φύλλον ὑπάρχει χάσμα.

3. Κατήχ. β'. «Τοῦ αὐτοῦ περὶ τῆς ἑορτῆς τῶν ἁγίων τοῦ Χριστοῦ γενεθλίων καὶ περὶ βίου μοναχικοῦ». Ἀρχ. «Ἀδελφοὶ

[1] Ἕτεραί τινες κατηχήσεις τοῦ αὐτοῦ Νεοφύτου ὑπάρχουσιν ἐν τῷ 287-ῳ κοισλινιανῷ κώδικι. Montfaucon, Bibliotheca Coisliniana, σ. 404.

*

καὶ πατέρες, δέον ἡγοῦμαι εἰς δόξαν» κτλ., φ. 13α. Χάσμα καὶ μετὰ τοῦτο τὸ φύλλον.

4. Κατήχ. γ'. «Τοῦ αὐτοῦ περὶ τῆς ἁγίας περιτομῆς τοῦ Σωτῆρος ἡμῶν, καὶ εἰς τὸν μέγαν Βασίλειον, καὶ περὶ μετανοίας». Ἀρχ. «Βασιλέως δεσπότου περιτομὴν» κτλ., φ. 14α.

5. Κατήχ. δ'. «Τοῦ αὐτοῦ ἐγκώμια εἰς τὴν ἁγίαν Ὑπαπαντήν, καὶ περὶ μετανοίας καὶ ἀχράντου καὶ θείας κοινωνίας». Ἀρχ. «Μικρὸν ἀπειργήσαντες τοὺς αἰσθητοὺς ὀφθαλμοὺς» κτλ., φ. 22α.

6. «Κυριακῇ β' τῶν Νηστειῶν ζ' κατήχησις. Τοῦ αὐτοῦ περὶ δοξολογίας καὶ δυνάμεως θείας, καὶ περὶ νηστείας τῆς κατὰ δύναμιν». Ἀρχ. «Τῶν τῆς πανσέπτου νηστείας παρῳχηκότων δύο ἑβδομάδων», κτλ. φ. 42β.

7. Κατήχησις η' ἀκέφαλος τῇ Κυριακῇ γ' τῶν Νηστειῶν. Ἀρχ. « - - - - φόρῳ καὶ καρποφόρῳ ταύτῃ ἀμπέλῳ» κτλ., φ. 217-219.

8. «Τοῦ αὐτοῦ περὶ τῆς ε' ἑβδομάδος καὶ περὶ τῶν ε' τοῦ σώματος αἰσθήσεων, καὶ γραφικαὶ μαρτυρίαι καὶ παραινέσεις ὠφέλιμοι». Ἀρχ. «Τὴν σταυρώσιμον ἤδη περαιώσαντες» κτλ., φ. 200 καὶ 220-223. Τέλος· «ἄρα οὖν φησί, ἐάν τις ἐμβλέψῃ τῇ μητρὶ - - - ».

9. «Κυρ. ε' τῶν Νηστειῶν ι' κατήχησις. Τοῦ αὐτοῦ περὶ τοῦ ποῦ ἡ ἐκκλησιαστικὴ παρεικάζεται ἀκολουθία, καὶ περὶ τῆς ἑβδομάδος τῶν Βαΐων». Ἀρχ. «Ἴστε καὶ ὑμεῖς, ὅτι τὰς πέντε νηστίμους» κτλ., φ. 47β.

10. «Κυρ. ς' τῶν Βαΐων ια' κατήχησις. Τοῦ αὐτοῦ εἰς τὴν Κυριακὴν τῶν Βαΐων καὶ εἰς τὴν ξηρανθεῖσαν συκῆν, καὶ εἰς τὴν Μεγάλην Ἑβδομάδα, καὶ παραινέσεις ὠφέλιμοι». Ἀρχ. «Τῆς χριστοφύτου καὶ θεοσδότου ἡμῖν ταύτης ἀμπέλου» κτλ., φ. 54β.

11. «Τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ ιβ' κατήχησις. Τοῦ αὐτοῦ εἰς τὸν περὶ ἀναστάσεως λόγον τοῦ θείου καὶ ἱεροῦ Χρυσοστόμου βραχύτατος πρόλογος». Ἀρχ. «Δίκαιον ἡγοῦμαι», φ. 58β.

12. «Τῇ Κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς λόγος εἰς τὸ ἅγιον πνεῦμα». Ἀρχ. «Πνεῦμα θεῖον τὸ ποιῆσάν με», φ. 61α.

13. «Εἰς τὴν Μεσοπεντηκοστὴν ιγ′ κατήχησις. Τοῦ αὐτοῦ περὶ ταπεινοφροσύνης ἐκ τῆς διδαχῆς τοῦ Χριστοῦ». Ἀρχ. «Εἰ καὶ οἱ πλεῖστοι τῶν ἀδελφῶν ἡμῶν» κτλ., φ. 74α.

14. Κατήχ. ιδ′. «Τοῦ αὐτοῦ περὶ τῆς ἀναλήψεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ περὶ τῆς ὑπερφυῶς τιμηθείσης ἀνθρωπίνης φύσεως, καὶ περὶ τῶν οὐρανίων πυλῶν». Ἀρχ. «Ἐπεὶ παντὸς ἀνθρώπου καὶ φιλοθέου» κτλ., φ. 78β.

15. «Κυρ. τῶν Ἁγίων Πατέρων ιε′ κατήχησις. Τοῦ αὐτοῦ περὶ τῶν ἐν Νικαίᾳ ἁγίων πατέρων καὶ περὶ ἧς ἐδογμάτισαν ὀρθοδόξου πίστεως, καὶ ὅτι ἡ πίστις ἡ ὀρθὴ χρῄζει καὶ βίου ὀρθοῦ». Ἀρχ. «Ἰδοὺ μεταξὺ δύο φωσφόρων» κτλ., φ. 83α.

16. «Κυρ. τῆς Πεντηκοστῆς ιζ′ κατήχησις. Τοῦ αὐτοῦ περὶ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωαρχικῆς τριάδος, καὶ περὶ ἀγάπης καὶ ὁμονοίας, καὶ αὖθις περὶ τοῦ ἁγίου πνεύματος». Ἀρχ. «Ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος», φ. 87α.

17. «Τῶν ἁγίων Ἀποστόλων, ιη′ κατήχησις. Τοῦ αὐτοῦ εἰς τοὺς ἁγίους καὶ πανευφήμους ἀποστόλους, καὶ περὶ τῆς ἁγίας καὶ θεοπνεύστου αὐτῶν διδαχῆς, καὶ περὶ τοῦ μὴ παρέργως ἀκούειν τῶν σωτηριωδῶν τούτων διδαγμάτων». Ἀρχ. «Ἰδοὺ τῆς ἁγίας καὶ ἀθανάτου» κτλ., φ. 91β.

18. Κατήχ. ιθ′. «Τοῦ αὐτοῦ συνοπτικὸν ἐγκώμιον εἰς τὴν ἁγίαν καὶ ἔνδοξον μεγαλομάρτυρα τοῦ Χριστοῦ Μαρίναν, καὶ περὶ συγκρίσεως ἀνδρῶν τε καὶ γυναικῶν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως». Ἀρχ. «Ἴσμεν πάντως ἅπαντες τὴν αἰτίαν» κτλ., φ. 96α.

19. Κατήχ. ιη′. «Τοῦ αὐτοῦ περὶ τῆς ἁγίας καὶ φωτοειδοῦς μεταμορφώσεως τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν». Ἀρχ. «Ἰδοὺ πάλιν ἡμῖν ἑορτὴ» κτλ., φ. 101α.

20. Κατήχ. κα′. «Τοῦ αὐτοῦ περὶ τῆς ἁγίας καὶ πανσέπτου καὶ μακαρίας κοιμήσεως τῆς πανάγνου δεσποίνης ἡμῶν Θεοτόκου, καὶ νοητὴ αὐτῆς ὁμιλία περὶ τοῦ ἐξ αὐτῆς ἄρτου τῆς ζωῆς». Ἀρχ. «Ἰδοὺ ἡ πάνσεπτος καὶ πανσέβαστος» κτλ., φ. 103β.

21. Κατήχ. κβ′. «Τοῦ αὐτοῦ εἰς τὴν ἁγίαν ἀποτομὴν τῆς πανολβίου κάρας τοῦ τιμίου προφήτου προδρόμου καὶ βαπτιστοῦ

Ἰωάννου, καὶ περὶ θείας μακροθυμίας καὶ περὶ ὑπομονῆς». Ἀρχ. «Ἄρα Θεοῦ καὶ δεσπότου πρῶτον ὑμνήσω μακροθυμίαν» κτλ., φ. 107α.

22. Κατήχ. κγ'. «Τοῦ αὐτοῦ εἰς τὸ πάνσεπτον καὶ θεῖον γενέθλιον τῆς παναμώμου κόρης καὶ Θεομήτορος· ἐν ᾧ συνεπλάκησαν καὶ παραινέσεις ὠφέλιμοι». Ἀρχ. «Ἰδοὺ ἐτέχθη ἡμῖν σήμερον» κτλ., φ. 110β.

22. Κατήχ. κδ'. «Τοῦ αὐτοῦ εἰς τὴν εἴσοδον τὴν ἐν τῷ ναῷ τῆς Θεομήτορος, καὶ ὅτι τοὺς προεπταικότας ἀπογινώσκειν οὐ χρή, ἀλλ' εὐελπίστως ἀνίστασθαι». Ἀρχ. «Δεῦτε καὶ αὖθις συνήθως συνάχθητε» κτλ., φ. 112β. Μετὰ τὸ πέρας τοῦ κειμένου (φ. 115β) γράμμασιν ἐρυθροῖς ὑπάρχει τὸ σημείωμα τοῦτο· «Τέλος σὺν Θεῷ βίβλου πρώτ(ης) τῶν κατηχήσεων, τέσσαρας καὶ εἴκοσι φέρουσα κατηχήσεις, ἤγουν εἰς ἑορτὰς καὶ εἰς τὴν Ἁγίαν Νηστείαν ἀπὸ τῆς Κυριακῆς πρὸ τῆς Χριστοῦ γεννήσεως καὶ μέχρις εἰσόδου ναοῦ τῆς πανάγνου δεσποίνης ἡμῶν Θεοτόκου:- Ἄρχεται σὺν Θεῷ ἡ δευτερεύουσα βίβλος ἀπ' αὐτῆς τῆς Κυριακῆς τῆς τῶν Ἁγίων Πάντων καὶ μέχρι Κυριακῆς ἐκείνης τῆς τοῦ Ἀσώτου, φέρουσα κατηχήσεις τριάκοντα καὶ δύο».

Βιβλίον δεύτερον.

1. «Κυρ. α' τῶν Ἁγίων Πάντων· κατήχησις α'. Νεοφύτου πρεσβυτέρου, μοναχοῦ καὶ ἐγκλείστου, περὶ καρδιῶν διαφορᾶς, καὶ ὅτι τὰ πρόσκαιρα τὰ αἰώνια προεικονίζουσι, καὶ περὶ τῶν Ἁγίων Πάντων εὐσύνοπτα». Ἀρχ. «Ὁ καρδιογνώστης τὰς τῶν καρδιῶν ἡμῶν διαφορὰς» κτλ., φ. 115β.

2. Κατήχ. β'. «Τοῦ αὐτοῦ περὶ τοῦ ἀρχαίου καλοῦ, καὶ αὖθις περὶ τοῦ ἀρχαίου κακοῦ, εἶτα περὶ τοῦ νέου καλοῦ, καὶ αὖθις πάλιν περὶ τοῦ νέου κακοῦ». Ἀρχ. «Εἰ ἀσπαστὸν ὑμῖν περὶ τοῦ ἀρχαίου καλοῦ» κτλ., φ. 120α.

3. Κατήχ. γ'. «Τοῦ αὐτοῦ περὶ ἀπάτης καὶ γαστριμαργίας, ἀφ' ὧν ὁ θάνατος καὶ ἀφ' ὧν τοῦ Παραδείσου πεπτώκαμεν, καὶ περὶ ἁγίων πατέρων». Ἀρχ. «Εἰ κατέχετε περὶ ὧν τῇ παρῳχηκυίᾳ» κτλ., φ. 123β.

4. Κατήχ. δ'. «Τοῦ αὐτοῦ περὶ πορνείας, ἥτις καὶ ἐστὶ γαστριμαργίας μὲν θυγάτηρ, ἀναισθησίας δὲ μήτηρ καὶ μολυσμῶν πολυτρόπων ἐκροὴ καὶ ἑτέρων κακῶν». Ἀρχ. «Μὴ φορτικὸν ὑμῖν ἐπιφαίνηται» κτλ., φ. 127α.

5. Κατήχ. ε'. «Τοῦ αὐτοῦ περὶ τῶν ε' τῆς γαστριμαργίας καὶ τῆς πορνείας ἀποκυημάτων, ἤγουν ἀναισθησίας, κλεψίας, ψεύδους, ἐπιορκίας καὶ φιλαργυρίας». Ἀρχ. «Ἐπειδὴ περὶ τῶν δύο Μαινάδων κτλ., φ. 131α.

6. Κατήχ. ς'. «Τοῦ αὐτοῦ περὶ ὅρκου καὶ φιλαργυρίας καὶ περὶ τούτων γραφικαὶ μαρτυρίαι». Ἀρχ. «Τριάδος ὑπεραγίου δεηθῶμεν», φ. 134α.

7. Κατήχ. ζ'. «Τοῦ αὐτοῦ περὶ ἀκηδίας καὶ ὀργῆς καὶ λύπης καὶ περὶ τῆς τούτων διαφορᾶς». Ἀρχ. «Περὶ ἀκηδίας καὶ ὀργῆς» κτλ., φ. 138α.

8. Κατήχ. η'. «Τοῦ αὐτοῦ περὶ τῆς η' Κυριακῆς καὶ περὶ τοῦ Δὸς μερίδα τοῖς ζ' καί γε τοῖς ὀκτώ». Ἀρχ. «Ἐπειδὴ ταῖς παρελθούσαις ἑπτὰ Κυριακαῖς» κτλ., φ. 141α.

9. Κατήχ. θ'. «Τοῦ αὐτοῦ εἰς τὴν ἐννάτην Κυριακὴν καὶ περὶ τῶν ἐννέα καὶ ἐννενήκοντα ἐννέα παραβολικῶς περὶ μετανοίας προβάτων», φ. 145α.

10. Κατήχ. ι'. «Τοῦ αὐτοῦ εἰς τὴν ι' Κυριακὴν καὶ περὶ δεκάδων τιμῆς τοῦ βροτησίου γένους». Ἀρχ. «Ὑμεῖς μὲν ὡς φιλόλογοι» κτλ., φ. 148β.

11. Κατήχ. ια'. «Τοῦ αὐτοῦ εἰς τὴν ια' Κυριακήν, καὶ περὶ τῶν ἕνδεκα μαθητῶν, καὶ περὶ τῶν μετὰ τὴν ἑνδεκάτην ὥραν ἐργατῶν, ὧν δεῖ μιμεῖσθαι τὴν πίστιν καὶ ἀδιστάκτως προστρέχειν τῇ μετανοίᾳ». Ἀρχ. «Ἡ ἐνεστῶσα Κυριακὴ ἀπαιτεῖ» κτλ., φ. 153α.

12. Κατήχ. ιβ'. «Τοῦ αὐτοῦ εἰς τὴν δωδεκάτην Κυριακήν, καὶ περί τινων δωδεκάδων διαφόρων, ὧν ἡ ἀνάμνησις τοῖς προσέχουσι πάνυ ὠφέλιμος». Ἀρχ. «Οὐδὲν τῷ κωλῦσον ἡμᾶς» κτλ., φ. 155β.

13. Κατήχ. ιγ'. «Τοῦ αὐτοῦ περὶ τῆς ἀκολουθίας τῆς ἀποκάρσεως καὶ τῆς τοῦ κόσμου ἀποταγῆς». Ἀρχ. «Προσέχετε λαός μου τῷ νόμῳ» κτλ., φ. 159α.

14. Κατήχ. ιδ'. «Τοῦ αὐτοῦ εἰς τὰ ἑξῆς τῶν ῥηθέντων τῇ παρελθούσῃ Κυριακῇ, καὶ περὶ τῆς ἐννοίας τῆς ἀποχάρσεως». Ἀρχ. «Βούλομαι σὺν Θεῷ τὰ ἑξῆς» κτλ., φ. 161β.

15. Κατήχ. ιη'. «Τοῦ αὐτοῦ περὶ τοῦ ἐπιθυμητικοῦ τῆς ψυχῆς, καὶ τίς μὲν ἡ λογικὴ ἐπιθυμία, τίς δὲ ἡ ἄλογος». Ἀρχ. «Μικρὰ περὶ τοῦ λογικοῦ διαλεχθέντες», φ. 166β.

16. Κατήχ. ιθ'. «Τοῦ αὐτοῦ περὶ τοῦ θυμοειδοῦς μέρους τῆς ψυχῆς, καὶ ὅτι καλῶς καὶ χρησίμως πρὸς Θεὸν ἡμῖν ὁ θυμὸς ἐπεδόθη». Ἀρχ. «Ἴστε ὅτι ἐν ταῖς παρελθούσαις» κτλ., φ. 169β.

17. Κατήχ. κ'. «Τοῦ αὐτοῦ ἀνακεφαλαίωσις περὶ τοῦ λογικοῦ, τοῦ ἐπιθυμητικοῦ καὶ τοῦ θυμοειδοῦς, καὶ ὅροι περὶ τῶν αὐτῶν». Ἀρχ. «Ἐπειδὴ τρία τὰ περὶ ψυχῆς θεωρούμενα» κτλ., φύλ. 172β.

18. Κατήχ. κα'. «Τοῦ αὐτοῦ περὶ τῶν θείων καὶ μεγάλων τεσσάρων ἀρετῶν, σωφροσύνης, φρονήσεως, δικαιοσύνης καὶ ἀνδρείας, ὧν φησὶ χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις». Αρχ. «Βούλομαι σὺν Θεῷ σήμερον» κτλ., φ. 176β.

19. Κατήχ. κβ'. «Τοῦ αὐτοῦ περὶ φρονήσεως καὶ ὁμοζύγου τῆς σωφροσύνης». Ἀρχ. «Περὶ ἧς προδιειλέχθημεν σωφροσύνης» κτλ., φ. 180α.

